The purpose of this apparatus is to show all variation within **Family 35**, as identified by a complete collation of the following sixty-two representative MSS (not counting the fragments)—18, 35, 141, 149*, 201, 204, 328, 386, 394, 444, 604, 757, 801, 824, 928, 986, 1040*, 1058*, 1072, 1075, 1100, 1140, 1247*, 1248*, 1249, 1482, 1503, 1508*, 1548, 1617, 1619*, 1628, 1636*, 1637, 1652, 1656*, 1723, 1725,[1] 1732, 1740, 1746*, 1749*, 1761, 1855, 1856, 1858^{frag}, 1864, 1865, 1876, 1892*, 1897, 2080, 2218, 2255*, 2261, 2303^{frag}, 2352, 2378, 2431*, 2441, 2466, 2554, 2587 and 2723. The MSS marked with an asterisk (*) were collated by Dr. Eduardo Flores; the rest I collated myself. The first reading is that of the family and represents the vote of all the collated MSS (listed above) that are not identified as having a variant. It goes without saying that the base text is that of the family archetype, empirically determined.

ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ[2]

[Opening considerations]

[A link to Luke]

1.1 Τον μεν πρωτον λογον εποιησαμην περι παντων, ω Θεοφιλε, ὧν ηρξατο ὁ Ιησους ποιειν τε και διδασκειν 2 αχρι ἧς ἡμερας, εντειλαμενος τοις αποστολοις δια Πνευματος Ἁγιου οὓς εξελεξατο, ανεληφθη· 3 οἷς[3] και παρεστησεν ἑαυτον ζωντα, μετα το παθειν αυτον, εν πολλοις τεκμηριοις, δι' ἡμερων τεσσαρακοντα[4] οπτανομενος αυτοις και λεγων τα περι της βασιλειας του Θεου. 4 Και συναλιζομενος παρηγγειλεν αυτοις απο Ἱεροσολυμων μη χωριζεσθαι, αλλα περιμενειν την επαγγελιαν του Πατρος, "ἣν ηκουσατε μου· 5 ὁτι Ιωαννης μεν εβαπτισεν ὑδατι, ὑμεις δε βαπτισθησεσθε εν Πνευματι Ἁγιω ου μετα πολλας ταυτας ἡμερας".

[Jesus returns to Heaven]

6 Οἱ μεν ουν συνελθοντες επηρωτων αυτον λεγοντες, "Κυριε, ει εν τω χρονω τουτω αποκαθιστανεις την βασιλειαν τω Ισραηλ?" 7 Ειπεν δε προς αυτους: "Ουχ ὑμων εστιν γνωναι χρονους ἠ καιρους οὓς ὁ Πατηρ εθετο εν τη ιδια εξουσια. 8 Αλλα ληψεσθε[5] δυναμιν, επελθοντος του Ἁγιου Πνευματος εφ' ὑμας· και εσεσθε μοι μαρτυρες—εν τε Ἱερουσαλημ, και[6] παση τη Ιουδαια και Σαμαρεια,[7] και ἑως εσχατου της γης."

9 Και ταυτα ειπων, βλεποντων αυτων, επηρθη, και νεφελη ὑπελαβεν αυτον απο των οφθαλμων αυτων. 10 Και ὡς ατενιζοντες ησαν εις τον ουρανον, πορευομενου αυτου, και ιδου ανδρες δυο παρειστηκεισαν αυτοις εν εσθητι λευκη, 11 οἳ και ειπον: "Ανδρες Γαλιλαιοι, τί ἑστηκατε εμβλεποντες[8] εις τον ουρανον? Οὑτος[9] Ιησους ὁ αναληφθεις[10] αφ' ὑμων εις τον ουρανον, οὑτως ελευσεται ὃν τροπον εθεασασθε[11] αυτον πορευομενον εις τον ουρανον."

12 Τοτε ὑπεστρεψαν εις Ἱερουσαλημ απο ορους του καλουμενου Ελαιωνος, ὅ εστιν εγγυς Ἱερουσαλημ (σαββατου εχον ὁδον).

[A replacement for Judas Iscariot]

13 Και ὁτε εισηλθον ανεβησαν εις το ὑπερωον οὗ ησαν καταμενοντες:[12] ὅ τε Πετρος

---

[1] In 1725 the first four chapters are full of mistakes that I did not bother recording, except where another MS has the same variant. The rest of the chapters are normal.

[2] Both the Text and the apparatus are the responsibility of Wilbur N. Pickering, ThM PhD, ©.

[3] οις || εις 2466 (s)

[4] τεσσαρακοντα || τεσαρακοντα 1075 (sp)

[5] ληψεσθε || ληψεσθαι [5%] 1248

[6] και || 1 εν [75%] 1140,1247

[7] σαμαρεια || σαμαρια 1876 (sp)

[8] 1075 is missing 1:11 - 2:9.

[9] ουτος || 1 ο [80%] 18,35,141,204,328,386,444,1100,1725,1732,1876,1897,2255,2466,2554 (2080 vacant)

[10] αναληφθεις || ανλιφθεις και 1140^{v} (s)

[11] εθεασασθε || εθεασασθαι 1247 (s)

[12] καταμενοντες || καταμενον 1248 (s)

και Ιακωβος,[1] Ιωαννης και Ανδρεας,[2] Φιλιππος και Θωμας, Βαρθολομαιος και Ματθαιος, Ιακωβος Αλφαιου και Σιμων ὁ Ζηλωτης, και Ιουδας Ιακωβου. 14 Οὑτοι παντες ησαν προσκαρτερουντες ὁμοθυμαδον τη προσευχη και τη[3] δεησει, συν γυναιξιν, και Μαρια τη μητρι του Ιησου, και συν τοις αδελφοις αυτου.

15 Και εν ταις ἡμεραις ταυταις αναστας Πετρος εν μεσω των[4] μαθητων ειπεν (ἦν τε οχλος ονοματων επι το αυτο ὡς ἑκατον εικοσιν), 16 "Ανδρες αδελφοι: εδει πληρωθηναι την Γραφην ταυτην, ἣν προειπεν το Πνευμα το Ἁγιον δια στοματος Δαυιδ περι Ιουδα, του γενομενου ὁδηγου τοις συλλαβουσιν[5] τον Ιησουν, 17 ὁτι κατηριθμημενος ἦν συν ἡμιν και ελαχεν τον κληρον της διακονιας[6] ταυτης." 18 (Οὑτος μεν ουν εκτησατο χωριον εκ μισθου της αδικιας, και πρηνης[7] γενομενος ελακισεν μεσος, και εξεχυθη παντα τα σπλαγχνα αυτου. 19 Και γνωστον εγενετο πασιν τοις κατοικουσιν Ἰερουσαλημ, ὡστε κληθηναι το χωριον εκεινο τη ιδια διαλεκτω αυτων[8] '*Ακελδαμα*', τουτ' εστιν, 'Χωριον Αἱματος'.) 20 "Γεγραπται γαρ εν Βιβλω Ψαλμων: 'Γενηθητω ἡ επαυλις αυτου[9] ερημος, και μη εστω ὁ κατοικων εν αυτη' και, 'Την επισκοπην αυτου λαβοι ἑτερος'. 21 Δει ουν, των συνελθοντων ἡμιν[10] ανδρων εν παντι χρονω εν ᾧ εισηλθεν και εξηλθεν εφ' ἡμας ὁ Κυριος Ιησους, 22 αρξαμενος απο του βαπτισματος[11] Ιωαννου ἑως της ἡμερας ἧς ανεληφθη αφ' ἡμων, μαρτυρα της αναστασεως αυτου γενεσθαι συν ἡμιν ἑνα τουτων."

23 Και εστησαν δυο, Ιωσηφ τον καλουμενον Βαρσαβαν, ὃς[12] επεκληθη Ιουστος, και Ματθιαν. 24 Και προσευξαμενοι ειπον: "Συ Κυριε, καρδιογνωστα παντων, αναδειξον ὃν εξελεξω εκ τουτων των δυο ἑνα 25 λαβειν τον κληρον της διακονιας ταυτης και αποστολης, ἐξ ἧς παρεβη Ιουδας πορευθηναι εις τον τοπον τον ιδιον." 26 Και εδωκαν κληρους αυτων, και επεσεν ὁ κληρος επι Ματθιαν, και συγκατεψηφισθη μετα των ἑνδεκα[13] αποστολων.

[Pentecost]

2.1 Και εν τω συμπληρουσθαι την ἡμεραν της Πεντηκοστης,[14] ησαν ἁπαντες[15] ὁμοθυμαδον επι το αυτο. 2 Και εγενετο αφνω εκ του ουρανου ηχος ὡσπερ φερομενης πνοης βιαιας, και επληρωσεν ὁλον[16] τον οικον οὗ ησαν καθημενοι. 3 Και ωφθησαν αυτοις διαμεριζομεναι γλωσσαι ὡσει πυρος, εκαθισεν τε[17] εφ' ἑνα ἑκαστον αυτων. 4 Και επλησθησαν ἁπαντες Πνευματος Ἁγιου και ηρξαντο λαλειν ἑτεραις γλωσσαις, καθως το Πνευμα εδιδου αυτοις αποφθεγγεσθαι.

[People from all over]

5 Ησαν δε εν Ἰερουσαλημ κατοικουντες Ιουδαιοι, ανδρες ευλαβεις απο παντος εθνους των ὑπο τον ουρανον. 6 Γενομενης δε της φωνης ταυτης, συνηλθεν το πληθος και

---

[1] ιακωβος || 1 και [73%] 1725,1856,2431
[2] 2080 is missing 1:1-13
[3] τη || --- 2261 (s)
[4] 2352 repeats των, at end of line
[5] συλλαβουσιν || συλαβουσι 1140 (s)
[6] διακονιας || διαακονιας 757 (from one line to the next)
[7] πρηνης || πρινης [20%] 1100 (sp)
[8] διαλεκτω αυτων 35^{c} || ~ 21 [1%] 35,2466
[9] αυτου || αυτων 801,1856 (/)
[10] ημιν || --- 1140 (s)
[11] βαπτισματος || βαπτιματος 757 (i)
[12] ος || 1 και 1636,1652,1740 (/)
[13] ενδεκα || δωδεκα 386 (s)
[14] πεντηκοστης || πεντικοστης 1876 (s)
[15] απαντες || 1 οι αποστολοι [20%] 1247,1725
[16] ολον || ολιν 1892 (s) || --- 2255 (s)
[17] εκαθισεν τε || ~ και 1 [1%] 801

συνεχυθη,[1] ὁτι ηκουον εἰς ἑκαστος τη ιδια διαλεκτω λαλουντων αυτων. 7 Εξισταντο δε[2] και εθαυμαζον, λεγοντες προς αλληλους: "Ουκ, ιδου, παντες οὑτοι εισιν οἱ λαλουντες Γαλιλαιοι? 8 Και πως ἡμεις ακουομεν ἑκαστος τη ιδια διαλεκτω ἡμων εν ᾗ εγεννηθημεν?[3] 9 Παρθοι και Μηδοι και Ελαμιται· και οἱ κατοικουντες την Μεσοποταμιαν, Ιουδαιαν τε και Καππαδοκιαν, Ποντον και την Ασιαν, 10 Φρυγιαν τε και Παμφυλιαν, Αιγυπτον και τα μερη της Λιβυης της κατα Κυρηνην· και οἱ επιδημουντες Ῥωμαιοι—Ιουδαιοι τε και προσηλυτοι—11 Κρητες και Αραβες·[4] ακουομεν λαλουντων αυτων ταις ἡμετεραις γλωσσαις τα μεγαλεια του Θεου." 12 Εξισταντο δε παντες και διηπορουν, αλλος προς αλλον λεγοντες, "Τι αν θελοι τουτο ειναι?" 13 Ἑτεροι δε διαχλευαζοντες,[5] ελεγον ὁτι "Γλευκους μεμεστωμενοι εισιν."[6]

[Peter's proclamation]

14 Σταθεις δε[7] Πετρος, συν τοις ἑνδεκα,[8] επηρεν την φωνην αυτου και επεφθεγξατο[9] αυτοις: "Ανδρες—Ιουδαιοι και οἱ κατοικουντες Ἱερουσαλημ ἁπαντες—τουτο ὑμιν γνωστον εστω· και, ενωτισασθε τα ῥηματα μου! 15 Ου γαρ, ὡς ὑμεις ὑπολαμβανετε, οὑτοι μεθυουσιν (εστιν γαρ ὡρα τριτη της ἡμερας), 16 αλλα τουτο εστιν το ειρημενον δια του προφητου Ιωηλ:

> 17 'Και εσται εν ταις εσχαταις ἡμεραις, λεγει ὁ Θεος: Εκχεω απο του Πνευματος μου επι πασαν σαρκα· και προφητευσουσιν οἱ[10] υἱοι ὑμων και αἱ θυγατερες[11] ὑμων· και οἱ νεανισκοι ὑμων ὁρασεις οψονται· και οἱ πρεσβυτεροι ὑμων ενυπνια ενυπνιασθησονται. 18 Και γε επι τους δουλους μου και επι τας δουλας μου εν ταις ἡμεραις εκειναις εκχεω απο του Πνευματος μου, και προφητευσουσιν. 19 Και δωσω τερατα εν τω ουρανω ανω και σημεια επι της[12] γης κατω: αἱμα και πυρ και ατμιδα καπνου. 20 Ὁ ἡλιος μεταστραφησεται εις[13] σκοτος και ἡ σεληνη εις αἱμα[14] πριν ἡ ελθειν την ἡμεραν Κυριου την μεγαλην και επιφανη. 21 Και εσται: πας ὃς αν επικαλεσηται το ονομα Κυριου σωθησεται!'

22 "Ανδρες Ισραηλιται, ακουσατε τους λογους τουτους: Ιησουν τον Ναζωραιον, ανδρα απο του Θεου αποδεδειγμενον εις ὑμας δυναμεσιν και τερασιν και σημειοις, οἱς εποιησεν δι' αυτου ὁ Θεος[15] εν μεσω ὑμων,[16] καθως και αυτοι οιδατε, 23 τουτον—τη ὡρισμενη βουλη και προγνωσει του Θεου εκδοτον—λαβοντες δια χειρων ανομων, προσπηξαντες, ανειλετε· 24 ὃν ὁ Θεος ανεστησεν, λυσας τας ωδινας του θανατου, καθοτι ουκ ἡν δυνατον κρατεισθαι αυτον ὑπ' αυτου. 25 Δαυιδ γαρ λεγει εις αυτον:

> Ἱροωρωμην τον Κυριον ενωπιον μου δια παντος, ὁτι εκ δεξιων μου εστιν ἱνα μη σαλευθω. 26 Δια τουτο ευφρανθη ἡ καρδια μου και ηγαλλιασατο ἡ γλωσσα μου. Ετι δε και ἡ σαρξ μου κατασκηνωσει επ' ελπιδι, 27 ὁτι ουκ εγκαταλειψεις την ψυχην μου εις

---

[1] συνεχυθη || συνεχεθη 2466 (s)
[2] δε || 1 παντες [35%] 2080
[3] εγεννηθημεν || εγενηθημεν [25%] 2218
[4] αραβες || αρραβες 604 (sp)
[5] διαχλευαζοντες || χλευαζοντες [75%] 1732^{c}
[6] μεμεστωμενοι εισιν || ~ 21 1892 (s)
[7] δε || --- 1248 (s) || 1 ο 328 (s)
[8] ἑνδεκα || ενδεκα 141,386 (sp)
[9] επεφθεγξατο || απεφθεγξατο [75%] 1725,1732,2218 || επεφεγξατο 1548 (i)
[10] οι || --- 2431 (s)
[11] θυγατερες || θυγατεραις [20%] 394,801,1725,1732
[12] της || --- 801 (s)
[13] εις || ει 141 (s)
[14] και η σεληνη εις αιμα 1865^{c} || --- 1865
[15] δι αυτου ο θεος || ~ 3412 1746 (s)
[16] υμων || ημων 1732 (s)

ᾍδου,[1] ουδε δωσεις τον Ὅσιον σου ιδειν διαφθοραν. 28 Εγνωρισας μοι ὁδους ζωης·
πληρωσεις με ευφροσυνης μετα του προσωπου σου.'

29 "Ανδρες αδελφοι, εξον ειπειν μετα παρρησιας προς ὑμας περι του πατριαρχου Δαυιδ, ὁτι και ετελευτησεν και εταφη, και το μνημα αυτου εστιν εν ἡμιν αχρι της ἡμερας ταυτης. 30 Προφητης ουν ὑπαρχων, και ειδως ὁτι ὁρκω[2] ωμοσεν αυτω ὁ Θεος εκ καρπου της οσφυος αυτου, το[3] κατα σαρκα, αναστησειν τον Χριστον καθισαι επι του Θρονου αυτου, 31 προιδων ελαλησεν περι της αναστασεως του Χριστου, ὁτι Ὁυ[4] κατελειφθη[5] ἡ ψυχη αυτου εις ᾍδου, ουδε ἡ σαρξ αυτου ειδεν διαφθοραν'.

32 "Τουτον τον Ιησουν ανεστησεν ὁ Θεος, οὗ παντες ἡμεις εσμεν μαρτυρες. 33 Τῆ δεξια ουν του Θεου ὑψωθεις, την τε επαγγελιαν του Ἁγιου Πνευματος λαβων παρα του Πατρος, εξεχεεν τουτο ὃ νυν ὑμεις βλεπετε και ακουετε.[6] 34 Ου γαρ Δαυιδ ανεβη εις τους ουρανους, λεγει δε[7] αυτος: Ἐιπεν ὁ Κυριος τω Κυριω μου: Καθου εκ δεξιων μου 35 ἑως αν θω τους εχθρους σου ὑποποδιον των ποδων σου.' 36 Ασφαλως ουν[8,9] γινωσκετω πας οικος Ισραηλ ὁτι και Κυριον και[10] Χριστον αυτον ὁ Θεος[11] εποιησεν,[12] τουτον τον Ιησουν ὃν ὑμεις εσταυρωσατε!"

[The reaction]

37 Ακουσαντες δε κατενυγησαν τη καρδια, ειπον τε προς τον Πετρον και τους λοιπους αποστολους, "Τί ποιησομεν,[13] ανδρες αδελφοι?" 38 Ειπεν δε Πετρος[14] προς αυτους: "Μετανοησατε και βαπτισθητω ἑκαστος ὑμων επι τω ονοματι Ιησου Χριστου εις αφεσιν ἁμαρτιων, και ληψεσθε την δωρεαν του Ἁγιου Πνευματος. 39 Ὑμιν γαρ εστιν ἡ επαγγελια, και τοις τεκνοις ὑμων, και πασιν τοις εις μακραν—ὁσους αν προσκαλεσηται Κυριος ὁ Θεος ἡμων." 40 Ἑτεροις τε λογοις πλειοσιν διεμαρτυρατο και παρεκαλει λεγων, "Σωθητε απο της γενεας της σκολιας ταυτης!"

[The beginning of the Church]

2.41 Οἱ μεν ουν ασμενως αποδεξαμενοι[15] τον λογον αυτου εβαπτισθησαν, και προσετεθησαν[16] τη ἡμερα εκεινη ψυχαι ὡσει τρισχιλιαι. 42 Ησαν δε προσκαρτερουντες[17] τη διδαχη των αποστολων και τη κοινωνια, και τη κλασει του αρτου και ταις προσευχαις. 43 Εγενετο δε παση ψυχη φοβος—πολλα τε τερατα[18] και σημεια δια των αποστολων εγινετο.[19]

[All things in common]

44 Παντες δε οἱ πιστευοντες ησαν επι το αυτο και ειχον ἁπαντα κοινα· 45 και τα κτηματα και τας ὑπαρξεις επιπρασκον και διεμεριζον αυτα πασιν καθοτι αν τις χρειαν

---

[1] αδου 2261[alt] || αδην [15%] 1732,2261 (both got it right in vs. 31)
[2] ορκω || ωρκω 386 (i)
[3] το || --- 2255 (s)
[4] ου || ουκ εγω 986[v]
[5] κατελειφθη || κατεληφθη (1.8%) 1617
[6] ακουετε || ακουεται 2255 (s)
[7] δε || 1 ο 2218 (s)
[8] 986 is missing 2:36 - 3:6.
[9] ουν 2261[c] || --- 2261
[10] κυριον και 801[c] || --- 801
[11] αυτον ο θεος || ~ 231 444 (s)
[12] εποιησεν 1140[c] || εφανερωσε 1140,2261[c] (a later hand)
[13] ποιησομεν || ποιησωμεν [40%] 201,1249,1725,1897
[14] ειπεν δε πετρος || ~ 32 εφη [72%] 1140,1725
[15] αποδεξαμενοι || υποδεξαμενοι [1%] 1140
[16] και προσετεθησαν || --- 328 (h)
[17] προσκαρτερουντες || προσκατερουντες 201 (just a slip; he spells it right in vs. 46 below)
[18] τερατα || τετερατα 1856 (from one line to the next)
[19] εγινετο || εγενετο [15%] 1892,2352

ειχεν. 46 Καθ' ἡμεραν τε προσκαρτερουντες ὁμοθυμαδον εν τω ἱερω, κλωντες τε[1] κατ' οικον αρτον· μετελαμβανον τροφης εν αγαλλιασει και αφελοτητι καρδιας, 47 αινουντες τον Θεον και εχοντες χαριν προς ὁλον τον λαον. Ὁ δε Κυριος[2] προσετιθει τους σωζομενους καθ' ἡμεραν[3] τη εκκλησια.

[A man lame from birth]

3.1 Επι το αυτο δε[4] Πετρος και Ιωαννης ανεβαινον εις το ἱερον επι την ὡραν της προσευχης (την ενατην).[5] 2 Και τις ανηρ, χωλος εκ κοιλιας μητρος αυτου ὑπαρχων, εβασταζετο (ὃν ετιθουν καθ' ἡμεραν προς την θυραν[6] του ἱερου, την λεγομενην Ὡραιαν, του αιτειν ελεημοσυνην παρα των εισπορευομενων εις[7] το ἱερον), 3 ὃς, ιδων Πετρον και Ιωαννην μελλοντας εισιεναι εις το ἱερον, ηρωτα ελεημοσυνην.

[Peter heals him]

4 Ατενισας δε Πετρος εις[8] αυτον, συν τω Ιωαννη, ειπεν, "Βλεψον εις ἡμας". 5 Ὁ δε επειχεν αυτοις, προσδοκων τι παρ' αυτων λαβειν. 6 Ειπεν δε Πετρος: "Αργυριον και χρυσιον ουχ ὑπαρχει μοι, ὃ δε εχω, τουτο σοι διδωμι. Εν τω ονοματι Ιησου Χριστου του Ναζωραιου, εγειραι[9] και περιπατει!" 7 Και πιασας αυτον της δεξιας χειρος ηγειρεν· παραχρημα δε εστερεωθησαν αυτου αἱ βασεις και τα σφυρα. 8 Και εξαλλομενος[10] εστη και περιεπατει! Και εισηλθεν συν αυτοις εις το ἱερον, περιπατων και ἁλλομενος και αινων τον Θεον. 9 Και ειδεν αυτον πας ὁ λαος περιπατουντα και αινουντα τον Θεον·
10 επεγινωσκον τε αυτον—ὁτι οὑτος ἡν ὁ προς την ελεημοσυνην καθημενος επι τη Ὡραια Πυλη του ἱερου—και επλησθησαν θαμβους και εκστασεως επι τω συμβεβηκοτι αυτω.

[Peter preaches]

11 Κρατουντος δε του ιαθεντος χωλου τον Πετρον και Ιωαννην, συνεδραμεν προς αυτους πας ὁ λαος επι τη στοα, τη καλουμενη[11,12] Σολομωντος, εκθαμβοι. 12 Ιδων δε Πετρος απεκρινατο προς τον λαον: "Ανδρες Ισραηλιται, τί θαυμαζετε επι τουτω,[13] ἠ ἡμιν τί ατενιζετε ὡς ιδια δυναμει ἠ ευσεβεια πεποιηκοσιν του περιπατειν αυτον? 13 Ὁ Θεος Ἀβρααμ και Ισαακ και Ιακωβ, ὁ Θεος των πατερων ἡμων, εδοξασεν τον Παιδα αυτου Ιησουν, ὃν ὑμεις μεν παρεδωκατε· και ηρνησασθε[14] αυτον κατα προσωπον Πιλατου, κρινοντος εκεινου απολυειν. 14 Ὑμεις δε τον Ἁγιον και Δικαιον ηρνησασθε, και ητησασθε ανδρα φονεα χαρισθηναι ὑμιν, 15 τον δε Αρχηγον της ζωης απεκτεινατε, ὃν ὁ Θεος ηγειρεν[15] εκ νεκρων, οὑ ἡμεις μαρτυρες εσμεν. 16 Και επι τη πιστει του ονοματος αυτου, τουτον ὃν θεωρειτε και οιδατε εστερεωσεν το ονομα αυτου. Και ἡ πιστις ἡ δι' αυτου εδωκεν αυτω την ὁλοκληριαν ταυτην απεναντι παντων ὑμων.

17 "Και νυν, αδελφοι, οιδα ὁτι κατα αγνοιαν επραξατε, ὡσπερ και οἱ αρχοντες ὑμων. 18 Ὁ δε Θεος ἁ προκατηγγειλεν δια στοματος παντων των προφητων αυτου, παθειν

---

[1] τε || --- 1140 (s)
[2] ο δε κυριος || ~ 312 1746 (s)
[3] ημεραν || 1 εν 801 (s)
[4] δε 1892[c] || --- 1892
[5] ενατην 35[c],141[c] || εννατην [30%] 35,141,204,328,394,928,1247,1249,1725,1749,1855,1856,1876,2080,2261, 2431 (sp)
[6] θυραν || πυλην 2080 (s)
[7] εις || ες 1876 (i)
[8] εις || προς 1856 (s)
[9] εγειραι || εγειρε [30%] 2218
[10] εξαλλομενος || εξαλομενος 2218 (i)
[11] τη καλουμενη 1892[c] || --- 1892
[12] καλουμενη || 1 του 1892 (s)
[13] τουτω || τουτο [25%] 2218
[14] ηρνησασθε || ηρνισασθε 801 (sp)
[15] ο θεος ηγειρεν || ~ 312 2431 (s)

τον Χριστον, επληρωσεν ουτως. 19 Μετανοησατε ουν,[1] και επιστρεψατε, εις το εξαλειφθηναι υμων τας αμαρτιας, οπως αν ελθωσιν καιροι αναψυξεως απο προσωπου του Κυριου 20 και αποστειλη τον προκεχειρισμενον υμιν Χριστον, Ιησουν,[2] 21 ον δει ουρανον μεν δεξασθαι αχρι χρονων αποκαταστασεως παντων, ων ελαλησεν ο Θεος δια στοματος παντων των αγιων αυτου προφητων[3] απ' αιωνος.

22 "Μωυσης[4] μεν γαρ προς τους πατερας ειπεν[5] οτι 'Προφητην υμιν αναστησει Κυριος ο Θεος ημων[6] εκ των αδελφων υμων,[7] ως εμε. Αυτου ακουσεσθε, κατα παντα οσα[8] αν λαληση προς υμας. 23 Εσται δε, πασα ψυχη ητις αν μη ακουση του Προφητου εκεινου εξολοθρευθησεται εκ του λαου.'

24 "Και παντες δε οι προφηται, απο Σαμουηλ και των καθεξης, οσοι ελαλησαν, και προκατηγγειλαν[9] τας ημερας ταυτας. 25 Υμεις εστε υιοι των προφητων, και της διαθηκης ης διεθετο ο Θεος προς τους πατερας ημων,[10] λεγων προς Αβρααμ, 'Και εν τω σπερματι σου ενευλογηθησονται πασαι αι πατριαι της γης'. 26 Υμιν πρωτον ο Θεος, αναστησας[11] τον Παιδα αυτου Ιησουν, απεστειλεν αυτον ευλογουντα υμας, εν τω αποστρεφειν εκαστον απο των πονηριων υμων."

[Peter and John arrested]

4.1 Λαλουντων δε αυτων προς τον λαον, επεστησαν αυτοις οι ιερεις και ο στρατηγος του ιερου και οι Σαδδουκαιοι, 2 διαπονουμενοι δια το διδασκειν αυτους τον λαον και καταγγελλειν εν τω Ιησου την αναστασιν των νεκρων. 3 Και επεβαλον[12] αυτοις τας χειρας και εθεντο εις τηρησιν εις την αυριον, ην γαρ εσπερα ηδη. 4 (Πολλοι δε των ακουσαντων τον λογον[13] επιστευσαν, και εγενηθη ο αριθμος των ανδρων ωσει χιλιαδες πεντε.) 5 Εγενετο δε επι την αυριον συναχθηναι αυτων τους αρχοντας, και[14] πρεσβυτερους και[15] γραμματεις, εν Ιερουσαλημ, 6 και Ανναν τον αρχιερεα, και Καιαφαν και Ιωαννην και Αλεξανδρον, και οσοι ησαν εκ γενους αρχιερατικου. 7 Και στησαντες αυτους εν μεσω επυνθανοντο: "Εν ποια δυναμει, η εν ποιω ονοματι εποιησατε τουτο υμεις?"

[Peter's defense]

8 Τοτε Πετρος, πλησθεις Πνευματος Αγιου, ειπεν προς αυτους: "Αρχοντες του λαου και πρεσβυτεροι του Ισραηλ: 9 Ει ημεις σημερον ανακρινομεθα επι ευεργεσια ανθρωπου ασθενους, εν τινι ουτος σεσωσται, 10 γνωστον εστω πασιν υμιν, και παντι τω λαω Ισραηλ, οτι εν τω ονοματι Ιησου Χριστου του Ναζωραιου, ον υμεις εσταυρωσατε, ον ο Θεος ηγειρεν εκ νεκρων, εν τουτω ουτος παρεστηκεν ενωπιον υμων υγιης. 11 Ουτος εστιν 'ο λιθος ο εξουθενηθεις[16] υφ'[17] υμων, των οικοδομουντων, ο γενομενος εις κεφαλην

---

[1] ουν || --- 1508 (s)
[2] χριστον ιησουν || ~ 21 [25%] 801,2218
[3] προφητων || 1 των (9%) 1548
[4] μωυσης || μωσης [30%] 1725,1856 (sp)
[5] προς τους πατερας ειπεν 35c || ~ 4123 (8.5%) 35
[6] ημων || υμων [40%] 1740,2352
[7] εκ των αδελφων υμων || --- 328 (h)
[8] οσα || --- 1656 (s)
[9] προκατηγγειλαν 35c || κατηγγειλαν [75%] 35
[10] ημων || υμων [12%] 328,1652,1740,2352
[11] ο θεος αναστησας || ~ 312 [3%] 2218
[12] επεβαλον || επεβαλλον [12%] 1100
[13] τον λογον || των λογων 801 (s)
[14] και 35c || 1 τους 35
[15] και 35c || 1 τους 35
[16] εξουθενηθεις || εξουδενωθεις 1140,1725
[17] υφ || αφ 1140,1892 (/)

γωνιας'. 12 Και, ουκ εστιν εν αλλω ουδενι ἡ σωτηρια, ουδε γαρ ονομα ἑτερον εστιν[1] ὑπο τον ουρανον, το δεδομενον[2] εν ανθρωποις, εν ᾧ δει σωθηναι ἡμας."

[Rulers impressed]

13 Θεωρουντες δε την του Πετρου παρρησιαν και Ιωαννου, και καταλαβομενοι ὁτι ανθρωποι αγραμματοι εισιν και ιδιωται, εθαυμαζον· επεγινωσκον τε αυτους ὁτι συν τω Ιησου ησαν.[3] 14 Τον δε ανθρωπον βλεποντες συν[4] αυτοις ἑστωτα[5] τεθεραπευμενον,[6] ουδεν ειχον αντειπειν.[7] 15 Κελευσαντες δε αυτους εξω του συνεδριου απελθειν συνεβαλλον[8] προς αλληλους 16 λεγοντες: "Τί ποιησομεν[9] τοις ανθρωποις τουτοις? Ὁτι μεν γαρ γνωστον σημειον γεγονεν δι' αυτων, πασιν τοις κατοικουσιν Ἱερουσαλημ φανερον, και ου δυναμεθα αρνησασθαι. 17 Αλλ' ἱνα μη επι πλειον διανεμηθη εις τον λαον, απειλη απειλησωμεθα αυτοις μηκετι λαλειν επι τω ονοματι τουτω μηδενι ανθρωπω."

1. [They are forbidden to use the name 'Jesus']

18 Και καλεσαντες αυτους, παρηγγειλαν[10] αυτοις το καθολου μη φθεγγεσθαι μηδε διδασκειν επι τω ονοματι του[11] Ιησου. 19 Ὁ δε Πετρος και Ιωαννης αποκριθεντες προς αυτους ειπον: "Ει δικαιον εστιν ενωπιον του Θεου ὑμων ακουειν μαλλον ἡ του Θεου, κρινατε. 20 Ου δυναμεθα γαρ ἡμεις, ἁ ειδομεν και ἁ[12] ηκουσαμεν, μη λαλειν." 21 Οἱ δε προσαπειλησαμενοι απελυσαν αυτους, μηδεν εὑρισκοντες το πως κολασονται αυτους,[13] δια τον λαον, ὁτι παντες εδοξαζον τον Θεον επι τω γεγονοτι· 22 ετων γαρ ἡν πλειονων τεσσαρακοντα ὁ ανθρωπος εφ' ὁν εγεγονει το σημειον τουτο της ιασεως.

[The reaction of the believers]

23 Απολυθεντες δε ηλθον προς τους ιδιους και ανηγγειλαν ὁσα προς αυτους οἱ αρχιερεις και οἱ πρεσβυτεροι ειπον. 24 Οἱ δε ακουσαντες ὁμοθυμαδον ηραν φωνην προς τον θεον και ειπον: "Δεσποτα, συ ὁ Θεος, ὁ ποιησας τον ουρανον και την γην και την θαλασσαν, και παντα τα εν αυτοις· 25 ὁ δια στοματος Δαυιδ[14] παιδος σου ειπων: "Ινα τί εφρυαξαν εθνη και λαοι εμελετησαν κενα?[15] 26 Παρεστησαν οἱ βασιλεις της γης, και οἱ αρχοντες συνηχθησαν επι το αυτο, κατα του Κυριου και κατα του Χριστου αυτου.'
27 Συνηχθησαν γαρ επ' αληθειας[16] επι τον ἁγιον Παιδα σου Ιησουν, ὁν εχρισας, Ἡρωδης τε και Ποντιος Πιλατος, συν εθνεσιν και λαοις Ισραηλ, 28 ποιησαι ὁσα ἡ χειρ σου και ἡ βουλη σου προωρισεν[17] γενεσθαι. 29 Και τα νυν, Κυριε, επιδε επι τας απειλας αυτων, και δος τοις δουλοις σου μετα παρρησιας πασης λαλειν τον λογον σου, 30 εν τω την χειρα σου εκτεινειν σε εις ιασιν, και σημεια και τερατα γινεσθαι δια του ονοματος του ἁγιου Παιδος σου Ιησου." 31 Και δεηθεντων αυτων, εσαλευθη ὁ τοπος εν ᾧ ησαν συνηγμενοι, και επλησθησαν ἁπαντες Πνευματος Ἁγιου και ελαλουν τον λογον του Θεου μετα παρρησιας.

---

[1] ετερον εστιν || ~ 21 [75%] 1725,2261
[2] δεδομενον || δεδωμενον 2466 (i)
[3] συν τω ιησου ησαν || ~ 4123 386 (s)
[4] 1723 is missing 1:1 - 4:14.
[5] εστωτα 35[c] || 1 τον [80%] 35,1140[c],1247,1725,1732
[6] τεθεραπευμενον || τεθαραπευμενον 1856 (s)
[7] αντειπειν || αντιπειν 1100,1876 (/)
[8] συνεβαλλον || συνεβαλον [5%] 328,1725
[9] ποιησομεν || ποιησωμεν [30%] 1249,1548,1725,2218
[10] παρηγγειλαν || παρηγειλαν 1140 (i)
[11] του || --- 1628,2218 (/)
[12] α || --- [80%] 328,394,1247,1725,1749,1761
[13] 1247 omits μηδεν εὑρισκοντες το πως κολασονται αυτους (h)
[14] δαυιδ || 1 του (25.1%) 18[c],1247
[15] κενα || καινα 1617 (s)
[16] 35 probably had + εν τη πολει ταυτη [10%], but a whole line was erased and re-written, correctly.
[17] προωρισεν || προωρισαι 1876 (s)

[The young Church consolidates]

4.32 Του δε πληθους των πιστευσαντων ἦν ἡ καρδια και ἡ ψυχη μια· και ουδε εἷς τι των ὑπαρχοντων αυτω ελεγεν[1] ιδιον ειναι, αλλ' ἦν αυτοις ἁπαντα κοινα. 33 (Και δυναμει μεγαλη[2] απεδιδουν οἱ αποστολοι το μαρτυριον της αναστασεως του Κυριου Ιησου.) Χαρις τε μεγαλη ἦν[3] επι παντας αυτους, 34 ουδε[4] γαρ ενδεης τις ἦν εν αυτοις—ὁσοι γαρ κτητορες χωριων ἢ οικιων ὑπηρχον, πωλουντες εφερον τας τιμας των πιπρασκομενων 35 και ετιθουν παρα τους ποδας των αποστολων·[5] διεδιδοτο δε ἑκαστω καθοτι αν τις χρειαν ειχεν.

36 Ιωσης δε, ὁ[6] επικληθεις Βαρναβας απο[7] των αποστολων (ὅ εστιν, μεθερμηνευομενον, 'Υἱος παρακλησεως'), Λευιτης, Κυπριος τω γενει, 37 ὑπαρχοντος αυτω[8] αγρου, πωλησας ηνεγκεν το χρημα και εθηκεν παρα τους ποδας των αποστολων.

[Ananias and Sapphira]

5.1 Ανηρ δε τις Ανανιας ονοματι,[9,10] συν Σαπφειρα[11] τη γυναικι αυτου, επωλησεν κτημα 2 και ενοσφισατο απο της τιμης, συνειδυιας και της γυναικος αυτου·[12] και ενεγκας μερος τι παρα τους ποδας των αποστολων εθηκεν. 3 Ειπεν δε Πετρος: "Ανανια, δια τί επληρωσεν ὁ Σατανας την καρδιαν σου ψευσασθαι σε το Πνευμα το 'Αγιον και νοσφισασθαι σε[13] απο της τιμης του χωριου? 4 Ουχι μενον σοι εμενεν, και πραθεν εν τη ση εξουσια ὑπηρχεν? Τί ὁτι εθου εν τη καρδια σου το πραγμα τουτο? Ουκ εψευσω ανθρωποις αλλα τω Θεω." 5 Ακουων δε ὁ Ανανιας τους λογους τουτους, πεσων εξεψυξεν! (Και εγενετο φοβος μεγας επι παντας τους ακουοντας ταυτα.) 6 Ανασταντες δε οἱ νεωτεροι συνεστειλαν αυτον και εξενεγκαντες[14] εθαψαν.

7 Εγενετο δε ὡς ὡρων τριων διαστημα, και ἡ γυνη αυτου, μη ειδυια το γεγονος, εισηλθεν. 8 Απεκριθη δε αυτη ὁ Πετρος, "Ειπε μοι ει τοσουτου το χωριον απεδοσθε". 'Η δε ειπεν, "Ναι, τοσουτου". 9 'Ο δε Πετρος ειπεν προς αυτην: "Τί ὁτι συνεφωνηθη ὑμιν πειρασαι το Πνευμα Κυριου?[15] Ιδου, οἱ ποδες των θαψαντων τον ανδρα σου επι τη[16] θυρα,[17] και εξοισουσιν σε." 10 Επεσεν δε παραχρημα παρα τους ποδας αυτου και εξεψυξεν! Εισελθοντες δε οἱ νεανισκοι εὑρον αυτην νεκραν, και εξενεγκαντες εθαψαν προς τον ανδρα αυτης. 11 Και εγενετο φοβος μεγας εφ' ὁλην την εκκλησιαν και επι παντας τους ακουοντας ταυτα.

[The Apostles distinguish themselves]

---

[1] ελεγεν || ελεγον 1876 (s)
[2] δυναμει μεγαλη || ~ 21 [80%] 801,1725
[3] ην || --- 394 (s)
[4] ουδε || ου 1723 (s)
[5] 386 omits και ετιθουν παρα τους ποδας των αποστολων (corrected)
[6] ο || --- 1508 (s)
[7] απο 35[c] || υπο [25%] 35,1247,1725
[8] αυτω || αυτου [20%] 1058
[9] ανανιας ονοματι || ~ 21 1075 (s)
[10] ονοματι || ονοματη 1100 (i)
[11] σαπφειρα || σαμφειρα 1856 (sp)
[12] αυτου 35[c] || --- [3%] 35
[13] σε 35[c] || --- [15%] 35,386,1761
[14] εξενεγκαντες || εξενεγκοντες 386 (s)
[15] κυριου || 1 το αγιον 1247 (s)
[16] τη || την 1876 (s)
[17] τη θυρα || την θυραν 1723[c],2218

12 Δια δε των χειρων των αποστολων εγενετο[1] σημεια και τερατα[2] εν τω λαω πολλα· και ησαν ὁμοθυμαδον ἁπαντες εν τη Στοα[3] Σολομωνος.[4] 13 Των δε λοιπων ουδεις ετολμα κολλασθαι αυτοις,[5] αλλ' εμεγαλυνεν αυτους ὁ λαος. 14 Μαλλον δε προσετιθεντο πιστευοντες τω Κυριω, πληθη ανδρων τε και γυναικων, 15 ὡστε κατα τας πλατειας εκφερειν τους ασθενεις και τιθεναι επι κλινων και κραββατων, ἱνα ερχομενου του[6] Πετρου καν ἡ σκια επισκιαση τινι αυτων. 16 Συνηρχετο δε και το πληθος των περιξ πολεων εις Ἱερουσαλημ, φεροντες ασθενεις και οχλουμενους ὑπο πνευματων ακαθαρτων, και[7] εθεραπευοντο ἁπαντες.

[Sadducees VS Apostles]

17 Αναστας δε ὁ αρχιερευς και παντες οἱ συν αυτω (ἡ ουσα αἱρεσις των Σαδδουκαιων)· επλησθησαν ζηλου[8] 18 και επεβαλον τας χειρας αυτων επι τους αποστολους και εθεντο αυτους εν τηρησει δημοσια. 19 Αγγελος δε Κυριου δια της νυκτος ηνοιξεν τας θυρας της φυλακης, εξαγαγων τε αυτους ειπεν, 20 "Πορευεσθε, και σταθεντες λαλειτε εν τω ἱερω τω λαω παντα τα ῥηματα της ζωης ταυτης". 21 Ακουσαντες δε εισηλθον ὑπο τον ορθρον εις το ἱερον και εδιδασκον.

Παραγενομενος δε ὁ αρχιερευς και οἱ συν αυτω, συνεκαλεσαν το συνεδριον, και πασαν την γερουσιαν των[9] υἱων Ισραηλ, και απεστειλαν εις το δεσμωτηριον αχθηναι αυτους. 22 Οἱ δε παραγενομενοι ὑπηρεται ουχ εὑρον αυτους εν τη φυλακη, αναστρεψαντες δε απηγγειλαν,[10] 23 λεγοντες ὁτι "Το μεν δεσμωτηριον εὑρομεν κεκλεισμενον εν παση ασφαλεια, και τους φυλακας ἑστωτας προ των θυρων, ανοιξαντες δε εσω ουδενα εὑρομεν!" 24 Ὡς δε ηκουσαν τους λογους τουτους ὅ τε ἱερευς και ὁ στρατηγος του ἱερου και οἱ αρχιερεις, διηπορουν περι αυτων τἱ αν γενοιτο τουτο.

25 Παραγενομενος δε τις απηγγειλεν αυτοις[11] ὁτι "Ἱδου, οἱ ανδρες οὑς εθεσθε εν τη[12] φυλακη εισιν εν τω ἱερω ἑστωτες και διδασκοντες τον λαον!" 26 Τοτε απελθων ὁ στρατηγος συν τοις ὑπηρεταις ηγαγεν αυτους, ου μετα βιας, εφοβουντο γαρ τον λαον, ἱνα μη λιθασθωσιν. 27 Αγαγοντες δε αυτους εστησαν εν τω συνεδριω· και επηρωτησεν αυτους ὁ αρχιερευς 28 λεγων: "Ου παραγγελια παρηγγειλαμεν ὑμιν μη διδασκειν επι τω ονοματι τουτω? Και ιδου πεπληρωκατε την Ἱερουσαλημ της διδαχης ὑμων, και βουλεσθε επαγαγειν εφ' ἡμας το αἱμα του ανθρωπου τουτου!"

[Apostles infuriate Sadducees]

29 Αποκριθεις δε Πετρος και οἱ αποστολοι ειπον: "Πειθαρχειν δει Θεω μαλλον ἠ ανθρωποις. 30 Ὁ Θεος των πατερων ἡμων ηγειρεν Ιησουν, ὁν ὑμεις διεχειρισασθε κρεμασαντες επι[13] ξυλου. 31 Τουτον ὁ Θεος Αρχηγον και Σωτηρα ὑψωσεν τη δεξια αυτου, δουναι μετανοιαν τω Ισραηλ, και αφεσιν ἁμαρτιων. 32 Και ἡμεις εσμεν αυτου[14] μαρτυρες των ῥηματων τουτων, και το Πνευμα δε το Ἁγιον ὁ εδωκεν ὁ Θεος τοις πειθαρχουσιν αυτω."

---

[1] εγενετο || εγινετο [55%] 1761
[2] τερατα || τερα 1548 (i)
[3] στοα || 1 του [2%] 386,2466
[4] σολομωνος || σολομωντος [25%] 204,386,1740 (sp)
[5] αυτοις || αυτον 1856[c]
[6] του 35[c],1732[c] || --- [80%] 35,328,1732,2218
[7] και 35[c] || οιτινες [80%] 35
[8] ζηλου || ζηλον 2080 (s)
[9] των || --- 1876 (s)
[10] απηγγειλαν || απηγειλαν 201 (i)
[11] αυτοις 35[c] || 1 λεγων [5%] 35
[12] τη || --- 1247 (s)
[13] επι || 1 του 1140 (s)
[14] αυτου 1503[c] || --- [8%] 149,201,1140,1503,2352

[Gamaliel counsels Sadducees]

33 Οἱ δε ακουοντες διεπριοντο και εβουλευοντο[1] ανελειν αυτους. 34 Αναστας δε τις εν τω συνεδριω (Φαρισαιος ονοματι Γαμαλιηλ, νομοδιδασκαλος τιμιος παντι τω λαω), εκελευσεν εξω βραχυ τι[2] τους αποστολους[3] ποιησαι. 35 Ειπεν τε[4] προς αυτους: "Ανδρες Ισραηλιται, προσεχετε ἑαυτοις επι τοις ανθρωποις τουτοις, τί μελλετε πρασσειν. 36 Προ γαρ τουτων των ἡμερων ανεστη Θευδας, λεγων ειναι τινα ἑαυτον·[5] ᾧ προσεκλιθη[6] αριθμος ανδρων ὡς[7] τετρακοσιων· ὃς ανηρεθη, και παντες ὁσοι επειθοντο αυτω διελυθησαν και εγενοντο εις ουδεν. 37 Μετα τουτον[8] ανεστη Ιουδας[9] ὁ Γαλιλαιος, εν ταις ἡμεραις της απογραφης, και απεστησεν λαον ἱκανον οπισω αυτου. Κακεινος απωλετο, και παντες ὁσοι επειθοντο αυτω διεσκορπισθησαν. 38 Και τα νυν λεγω ὑμιν, αποστητε απο των ανθρωπων τουτων και εασατε αυτους· ὁτι εαν ἡ εξ ανθρωπων ἡ βουλη[10] ἡ το εργον τουτο, καταλυθησεται· 39 ει δε εκ Θεου εστιν, ου δυνησεσθε καταλυσαι αυτο—μηποτε και θεομαχοι εὑρεθητε!"

[Sadducees beat and threaten Apostles]

40 Επεισθησαν δε αυτω, και προσκαλεσαμενοι τους αποστολους, δηραντες παρηγγειλαν μη λαλειν επι τω ονοματι του Ιησου, και απελυσαν αυτους. 41 Οἱ μεν ουν επορευοντο χαιροντες απο προσωπου του συνεδριου, ὁτι κατηξιωθησαν ὑπερ του ονοματος του Χριστου ατιμασθηναι. 42 Πασαν τε ἡμεραν, εν τω ἱερω και[11] κατ' οικον, ουκ επαυοντο διδασκοντες και ευαγγελιζομενοι τον Χριστον Ιησουν.

[Enter deacons]

6.1 Εν δε ταις ἡμεραις ταυταις, πληθυνοντων των μαθητων, εγενετο γογγυσμος των Ἑλληνιστων προς τους Ἑβραιους, ὁτι παρεθεωρουντο εν τη διακονια τη καθημερινη αἱ χηραι αυτων. 2 Προσκαλεσαμενοι δε οἱ δωδεκα το πληθος των μαθητων ειπον: "Ουκ αρεστον εστιν ἡμας, καταλειψαντας τον λογον του Θεου, διακονειν τραπεζαις.
3 Επισκεψασθε ουν, αδελφοι, ανδρας εξ ὑμων[12] μαρτυρουμενους ἑπτα, πληρεις[13] Πνευματος Ἁγιου και σοφιας, οὓς καταστησομεν επι της χρειας ταυτης. 4 Ἡμεις δε τη προσευχη και τη διακονια του λογου προσκαρτερησομεν."

5 Και ηρεσεν ὁ λογος ενωπιον παντος του πληθους· και εξελεξαντο Στεφανον, ανδρα πληρη[14] πιστεως και Πνευματος Ἁγιου, και Φιλιππον και Προχορον και Νικανορα και Τιμωνα και Παρμεναν και Νικολαον, προσηλυτον Αντιοχεα, 6 οὓς εστησαν ενωπιον των αποστολων· και προσευξαμενοι επεθηκαν αυτοις τας χειρας.

7 Και ὁ λογος του Θεου ηυξανεν, και επληθυνετο ὁ αριθμος των μαθητων εν Ἱερουσαλημ σφοδρα, πολυς τε οχλος των ἱερεων ὑπηκουον[15] τη πιστει. 8 Στεφανος δε, πληρης πιστεως και δυναμεως, εποιει[16] τερατα και σημεια μεγαλα εν τω λαω.

[Stephen in a kangaroo court]

---

[1] εβουλευοντο || εβουλευσαντο 801 (s)
[2] τι 35[c] || --- [40%] 35
[3] βραχυ τι τους αποστολους 2261[c] || ~ 3412 [35%] 2261
[4] τε || δε 444 (s)
[5] εαυτον || 1 μεγαν [3%] 801,1876
[6] προσεκλιθη || προσεκληθη [54%] 444, 604,1723,1892,2218,2255,2352 || προσεκολλιθη 1725 (sp)
[7] ως || ωσει [80%] 1247
[8] μετα τουτον || 1212 1247 (i)
[9] ιουδας || θευδας 1247 (s)
[10] βουλη 35[c] || 1 αυτη [15%] 35
[11] και || --- 757 (s)
[12] υμων || ημων 141 (s)
[13] πληρεις || πληρης [15%] 824
[14] πληρη || πληρης [60%] 1247,2587[c]
[15] υπηκουον || υπηκοον 2261 (i)
[16] εποιει || επειει 1876 (i)

9 Ανεστησαν δε τινες των εκ της Συναγωγης της λεγομενης Λιβερτινων (και Κυρηναιων και Αλεξανδρεων[1] και των απο Κιλικιας και Ασιας), συζητουντες τω Στεφανω. 10 Και ουκ ισχυον αντιστηναι τη σοφια και τω Πνευματι ᾧ[2] ελαλει.

11 Τοτε ὑπεβαλον ανδρας λεγοντας ὁτι[3] "Ακηκοαμεν αυτου λαλουντος ῥηματα βλασφημα εις Μωσην και τον Θεον". 12 Συνεκινησαν τε τον λαον, και τους πρεσβυτερους και τους γραμματεις·[4] και επισταντες συνηρπασαν αυτον και ηγαγον εις το συνεδριον· 13 εστησαν τε μαρτυρας ψευδεις λεγοντας: "Ὁ ανθρωπος οὑτος ου παυεται ῥηματα βλασφημα λαλων κατα του τοπου του ἁγιου[5] και του νομου· 14 ακηκοαμεν γαρ αυτου λεγοντος ὁτι Ιησους ὁ Ναζωραιος οὑτος καταλυσει[6] τον τοπον τουτον και αλλαξει τα εθη ἃ παρεδωκεν ἡμιν Μωσης." 15 Και ατενισαντες εις αυτον ἁπαντες οἱ καθεζομενοι εν τω συνεδριω, ειδον το προσωπον αυτου ὡσει προσωπον αγγελου.

[Stephen's discourse]

7.1 Ειπεν δε ὁ αρχιερευς, "Ει αρα[7] ταυτα οὑτως εχει?" 2 Ὁ δε εφη: "Ανδρες αδελφοι και πατερες, ακουσατε:[8] Ὁ Θεος της δοξης ωφθη τω πατρι ἡμων[9] Ἀβρααμ οντι εν τη Μεσοποταμια, πριν ἠ κατοικησαι αυτον εν[10] Χαρραν,[11] 3 και ειπεν προς αυτον, Ἐξελθε εκ της γης σου και εκ της συγγενειας σου, και δευρο εις γην ἣν αν σοι δειξω'. 4 Τοτε εξελθων εκ γης Χαλδαιων κατωκησεν εν[12] Χαρραν. Κακειθεν, μετα το αποθανειν τον πατερα αυτου, μετωκισεν[13] αυτον εις την γην ταυτην εις[14] ἣν ὑμεις νυν[15] κατοικειτε· 5 και ουκ εδωκεν αυτω κληρονομιαν εν αυτη, ουδε βημα ποδος. Και επηγγειλατο δουναι αυτην εις κατασχεσιν αυτω,[16] και τω σπερματι αυτου μετ' αυτον, ουκ οντος αυτω[17] τεκνου. 6 Ελαλησεν δε οὑτως ὁ Θεος: ὁτι εσται το σπερμα αυτου παροικον εν γη αλλοτρια—και δουλωσουσιν αυτο και κακωσουσιν—ετη τετρακοσια. 7 Ἀ'Και το εθνος ᾧ[18] εαν δουλευσωσιν κρινῶ εγω', ειπεν ὁ Θεος, 'και μετα ταυτα[19] εξελευσονται[20] και λατρευσουσιν μοι εν τω τοπω τουτω'. 8 Και εδωκεν αυτω διαθηκην[21] περιτομης· και οὑτως[22] εγεννησεν τον Ισαακ και περιετεμεν αυτον τη ἡμερα τη ογδοη, και ὁ Ισαακ[23] τον Ιακωβ, και ὁ Ιακωβ τους δωδεκα πατριαρχας.

[down to Egypt]

---

[1] αλεξανδρεων || αλεξανδραιων 1732 (s)
[2] ω || ο 1617 (s)
[3] οτι || --- 1865 (s)
[4] γραμματεις || γραματεις 1652 (i)
[5] αγιου 35[c] || 1 τουτου [10%] 35,1740[c]
[6] καταλυσει || 2466 is strange here—καταλυσν|
[7] αρα 35[c] || --- [3%] 35
[8] ακουσατε || 1 μου 2080 (s)
[9] ημων || --- 2431 (s)
[10] εν || εις 801 (s)
[11] χαρραν || χαραν [20%] 2261,2466 (twice)
[12] εν || εις [35%] 801,1876
[13] μετωκισεν || μετωκησεν [45%] 1548,2218,2352
[14] εις || --- 394 (s)
[15] νυν || --- 1247 (s)
[16] δουναι αυτην εις κατασχεσιν αυτω || ~ 15342 [65%] 1247
[17] αυτω || αυτου 1876 (s)
[18] ω || ο [10%] 141,1856,2261
[19] μετα ταυτα || μεταυτα 1856 (i)
[20] εξελευσονται || εξελευσοντε 2218 (s)
[21] διαθηκην || διαθην 1897 (i)
[22] ουτως || ουτος [18%] 1247
[23] ισαακ || ισακ 2218 (i)

9 “Και οἱ πατριαρχαι, ζηλωσαντες, τον Ιωσηφ απεδοντο εις Αιγυπτον· και ἦν ὁ Θεος μετ’ αυτου 10 και εξειλετο αυτον εκ πασων των θλιψεων αυτου, και εδωκεν αυτω χαριν και σοφιαν εναντιον Φαραω, βασιλεως Αιγυπτου· και κατεστησεν αυτον ἡγουμενον επ’ Αιγυπτον και[1] ὁλον τον οικον αυτου.[2] 11 Ηλθεν δε λιμος εφ’ ὁλην την[3] γην Αιγυπτου και Χανααν, και θλιψις μεγαλη, και ουχ εὑρισκον χορτασματα οἱ πατερες ἡμων.
12 Ακουσας δε Ιακωβ οντα[4] σιτα εν Αιγυπτω, εξαπεστειλεν τους πατερας ἡμων πρωτον.
13 Και εν τω δευτερω ανεγνωρισθη Ιωσηφ τοις αδελφοις αυτου, και φανερον εγενετο τω Φαραω το γενος του[5] Ιωσηφ. 14 Αποστειλας δε Ιωσηφ μετεκαλεσατο Ιακωβ τον πατερα αυτου και πασαν την συγγενειαν αυτου,[6] εν ἑβδομηκοντα πεντε ψυχαις. 15 Κατεβη δε Ιακωβ εις Αιγυπτον· και ετελευτησεν, αυτος και οἱ πατερες ἡμων· 16 και μετετεθησαν εις Συχεμ και ετεθησαν εν τω μνηματι ὃ[7] ωνησατο Ἀβρααμ τιμης αργυριου παρα των υἱων Εμμωρ[8] του Συχεμ.

[enter Moses]

17 “Καθως δε ηγγιζεν ὁ χρονος της επαγγελιας ἡς ωμοσεν ὁ Θεος τω Ἀβρααμ, ηυξησεν ὁ λαος και επληθυνθη εν Αιγυπτω, 18 αχρις οὗ ανεστη βασιλευς ἑτερος[9] ὃς ουκ ηδει τον Ιωσηφ. 19 Οὑτος κατασοφισαμενος το γενος ἡμων εκακωσεν τους πατερας ἡμων, του ποιειν εκθετα τα βρεφη αυτων εις το μη ζωογονεισθαι. 20 Εν ᾧ καιρω εγεννηθη[10] Μωυσης, και ἦν αστειος τω Θεω· ὃς ανετραφη μηνας τρεις εν τω οικω του πατρος.
21 Εκτεθεντα δε αυτον ανειλετο ἡ θυγατηρ Φαραω και ανεθρεψατο αυτον ἑαυτη εις υἱον.
22 Και επαιδευθη[11] Μωυσης παση σοφια Αιγυπτιων· ἦν δε δυνατος εν λογοις και εργοις.[12]
23 Ὡς δε επληρουτο αυτω τεσσαρακονταετης χρονος, ανεβη επι την καρδιαν αυτου επισκεψασθαι τους αδελφους αυτου, τους υἱους Ισραηλ. 24 Και ιδων τινα αδικουμενον, ημυνατο και εποιησεν εκδικησιν τω καταπονουμενω, παταξας τον Αιγυπτιον.
25 Ενομιζεν δε συνιεναι τους αδελφους αυτου ὁτι ὁ Θεος δια χειρος αυτου διδωσιν αυτοις σωτηριαν, οἱ δε ου συνηκαν. 26 Τη τε επιουση ἡμερα ωφθη αυτοις μαχομενοις και συνηλασεν αυτους[13] εις ειρηνην, ειπων, Ἀνδρες, αδελφοι εστε ὑμεις·[14] ἱνα τί αδικειτε αλληλους?’ 27 Ὁ δε αδικων τον πλησιον απωσατο τουτον ειπων:[15] “Τίς σε κατεστησεν αρχοντα και δικαστην εφ’ ἡμας? 28 Μη ανελειν με συ θελεις ὃν τροπον ανειλες χθες τον Αιγυπτιον?’ 29 Εφυγεν δε Μωσης εν τω λογω τουτω, και εγενετο παροικος εν γη Μαδιαμ, οὗ εγεννησεν[16] υἱους δυο.

[Moses commissioned]

30 “Και πληρωθεντων ετων τεσσαρακοντα, ωφθη αυτω εν τη ερημω του Ορους Σινα αγγελος Κυριου, εν φλογι πυρος βατου. 31 Ὁ δε Μωσης ιδων εθαυμασεν[17] το ὁραμα,

---

[1] και 35[c] || 1 εφ [4%] 35
[2] 2587 is missing 7:11-26.
[3] την || --- (4.6%) 1247
[4] 986 is missing 7:12-31.
[5] του || --- [2%] 1248
[6] πασαν την συγγενειαν αυτου || ~ 2341 149 (s)
[7] ο || ω [13%] 801,2261
[8] εμμωρ || εμωρ 386 (sp)
[9] ετερος || 1 επ αιγυπτον [5%] 2080
[10] εγεννηθη || εγενηθη 801,1856,2218 (/)
[11] επαιδευθη || επεδευθη 1100 (s)
[12] λογοις και εργοις || ~ 321 2218 (s)
[13] αυτους || --- 2352 (s)
[14] υμεις 35[c] || --- [8%] 35
[15] 1247 omits Ανδρες αδελφοι εστε ὑμεις ἱνα τί αδικειτε αλληλους?’ Ὁ δε αδικων τον πλησιον απωσατο τουτον ειπων (h)
[16] εγεννησεν || εγενησεν 801 (s)
[17] εθαυμασεν || εθαυμαζεν [75%] 1247

προσερχομενου δε αυτου κατανοησαι, εγενετο φωνη Κυριου προς αυτον:[1] 32 Ἐγω ὁ Θεος των πατερων σου—ὁ Θεος[2] Ἀβρααμ και ὁ Θεος Ισαακ και ὁ Θεος Ιακωβ.' Εντρομος δε γενομενος Μωυσης,[3] ουκ ετολμα κατανοησαι. 33 Ειπεν δε αυτω ὁ Κυριος: Ἀλυσον το ὑποδημα[4] των ποδων σου, ὁ γαρ τοπος εν ᾧ ἑστηκας γη ἁγια εστιν. 34 Ιδων ειδον την κακωσιν του λαου μου του εν Αιγυπτω, και του στεναγμου αυτων ηκουσα· και κατεβην[5] εξελεσθαι αυτους. Και νυν δευρο, αποστελω σε εις Αιγυπτον.'

35 "Τουτον τον Μωυσην[6] ὃν ηρνησαντο ειποντες, Τίς σε κατεστησεν αρχοντα και δικαστην?'—τουτον ὁ Θεος αρχηγον και λυτρωτην απεστειλεν εν χειρι αγγελου του οφθεντος[7] αυτω εν τη βατω. 36 Οὑτος εξηγαγεν αυτους, ποιησας τερατα και σημεια εν γη[8] Αιγυπτω και εν Ερυθρα Θαλασση, και εν τη ερημω ετη τεσσαρακοντα.

[Israel's rebellion]

37 "Οὑτος εστιν Μωυσης[9] ὁ ειπων τοις υἱοις Ισραηλ, Προφητην ὑμιν αναστησει Κυριος ὁ Θεος ἡμων[10] εκ των αδελφων ὑμων,[11] ὡς εμε'.[12,13] 38 Οὑτος εστιν ὁ γενομενος εν τη εκκλησια εν τη ερημω, μετα του αγγελου[14] του λαλουντος αυτω εν τω Ορει Σινα και των πατερων ἡμων, ὃς εδεξατο λογια ζωντα δουναι ἡμιν· 39 ᾧ ουκ ηθελησαν ὑπηκοοι γενεσθαι οἱ πατερες ἡμων·[15] αλλ' απωσαντο και εστραφησαν τη καρδια[16] αυτων εις Αιγυπτον, 40 ειποντες τω Ααρων, Ποιησον ἡμιν θεους οἱ προπορευσονται ἡμων· ὁ γαρ Μωυσης[17] οὑτος, ὃς εξηγαγεν ἡμας εκ γης Αιγυπτου—ουκ οιδαμεν τί γεγονεν αυτω'. 41 Και εμοσχοποιησαν εν ταις ἡμεραις εκειναις και ανηγαγον θυσιαν τω ειδωλω, και ευφραινοντο εν τοις εργοις των χειρων αυτων. 42 Εστρεψεν δε ὁ Θεος και παρεδωκεν αυτους λατρευειν τη στρατια του ουρανου, καθως γεγραπται εν Βιβλω των Προφητων:

Μη σφαγια και θυσιας προσηνεγκατε μοι εν τη ερημω ετη τεσσαρακοντα, οικος Ισραηλ?
43 Και ανελαβετε την σκηνην του Μολοχ, και το αστρον του θεου ὑμων, Ρεφφαν,[18] τους τυπους οὑς εποιησατε προσκυνειν αυτοις· και μετοικιω ὑμας επεκεινα Βαβυλωνος.'

[a dwelling for God]

44 ""Η σκηνη του μαρτυριου ἦν τοις πατρασιν ἡμων εν τη ερημω, καθως διεταξατο ὁ λαλων τω Μωυση[19] ποιησαι αυτην κατα τον[20] τυπον ὃν ἑωρακει· 45 ἣν και εισηγαγον,

---

[1] προς αυτον 35[c] || --- [4%] 35

[2] των πατερων σου ὁ Θεος Ἀβρααμ και ὁ Θεος Ισαακ και ὁ Θεος Ιακωβ || ~ 6789,10,11,12,13,14,123 328 [The copyist omitted των πατερων σου ὁ Θεος, clear hoioteleuton, but noticed what he had done in time to add των πατερων σου after Ιακωβ.]

[3] μωυσης || μωσης [20%] 801,1856

[4] υποδημα 35[c] || 1 εκ [3%] 35,1140

[5] κατεβην || 1 του 824 (s)

[6] μωυσην || μωσην [15%] 801,1865

[7] οφθεντος || ωφθεντος [5%] 201

[8] γη || --- 1247 (s)

[9] μωυσης || μωσης [20%] 801

[10] ημων || υμων [75%] 1892

[11] υμων || ημων 1617,2255 (/)

[12] In 35 verses 35[b]-37 were erased and re-written, now being **f[35]** without variant (it is hard to tell why it was erased). 1548 has an erasure with the correct text supplied in cramped letters.

[13] εμε || 1 αυτου ακουσεσθε [15%] 801,1876

[14] εν τη ερημω μετα του αγγελου || ~ 456123 1856 (s)

[15] 386 omits ος εδεξατο λογια ζωντα δουναι ημιν ω ουκ ηθελησαν υπηκοοι γενεσθαι οι πατερες ημων (homoioteleuton)

[16] τη καρδια 35[c] || ταις καρδιαις [3%] 35

[17] μωυσης || μωσης [20%] 801

[18] ρεφφαν || ρεφαν [8%] 757 (sp)

[19] μωυση || μωυσει 604 (sp)

[20] διεταξατο ὁ λαλων τω Μωυση ποιησαι αυτην κατα τον || δι ε 1247 (strange)

διαδεξαμενοι οἱ πατερες ἡμων, μετα Ιησου εν τη κατασχεσει των εθνων, ὧν εξωσεν ὁ Θεος απο προσωπου των πατερων ἡμων ἑως των[1] ἡμερων Δαυιδ· 46 ὃς εὗρεν χαριν ενωπιον του Θεου και ητησατο εὑρειν σκηνωμα τω Θεω Ιακωβ· 47 Σολομων δε ωκοδομησεν αυτω[2] οικον. 48 Αλλ' ουχ ὁ Ὑψιστος εν χειροποιητοις ναοις[3] κατοικει, καθως[4] ὁ προφητης λεγει: 49 "Ο ουρανος μοι θρονος, ἡ δε γη ὑποποδιον των ποδων μου. Ποιον οικον οικοδομησετε μοι', λεγει Κυριος, 'ἠ τίς τοπος της καταπαυσεως μου? 50 Ουχι ἡ χειρ μου εποιησεν ταυτα παντα?'

[Stephen attacks]

51 "Σκληροτραχηλοι και απεριτμητοι τη καρδια[5] και τοις ωσιν! Ὑμεις αει τω Πνευματι τω Ἁγιω αντιπιπτετε· ὡς οἱ πατερες ὑμων, και ὑμεις. 52 Τινα των προφητων ουκ εδιωξαν ὁι πατερες ὑμων? Και απεκτειναν τους προκαταγγειλαντας περι της ελευσεως του Δικαιου, οὗ νυν ὑμεις προδοται[6] και φονεις γεγενησθε·[7] 53 οἵτινες ελαβετε τον νομον εις διαταγας αγγελων και ουκ εφυλαξατε!"

[Stephen is martyred]

54 Ακουοντες δε ταυτα διεπριοντο ταις καρδιαις αυτων, και[8] εβρυχον τους οδοντας[9] επ' αυτον. 55 Ὑπαρχων δε πληρης Πνευματος Ἁγιου, ατενισας εις τον ουρανον, ειδεν δοξαν Θεου και Ιησουν ἑστωτα εκ δεξιων του Θεου, 56 και ειπεν, "Ἰδου, θεωρω τους ουρανους ανεωγμενους και τον Υἱον του Ανθρωπου εκ δεξιων ἑστωτα του Θεου!"[10]
57 Κραξαντες δε φωνη μεγαλη, συνεσχον τα ωτα αυτων και ὡρμησαν ὁμοθυμαδον επ' αυτον, 58 και εκβαλοντες[11] εξω της πολεως, ελιθοβολουν. (Και οἱ μαρτυρες απεθεντο τα ἱματια παρα τους ποδας νεανιου[12] καλουμενου Σαυλου.) 59 Και ελιθοβολουν τον Στεφανον επικαλουμενον και λεγοντα, "Κυριε Ιησου, δεξαι το πνευμα μου". 60 Θεις δε τα γονατα, εκραξεν φωνη μεγαλη, "Κυριε, μη στησης αυτοις την ἁμαρτιαν ταυτην!" Και τουτο[13] ειπων εκοιμηθη. (Σαυλος δε ἦν συνευδοκων τη αναιρεσει αυτου.)

[Under persecution the Church moves out]

8.1 Εγενετο δε εν εκεινη τη ἡμερα διωγμος μεγας επι την εκκλησιαν την εν Ἰεροσολυμοις· παντες δε διεσπαρησαν κατα τας χωρας της Ιουδαιας και Σαμαρειας, πλην των αποστολων. 2 (Συνεκομισαν[14] δε τον Στεφανον ανδρες ευλαβεις και εποιησαντο κοπετον μεγαν επ' αυτω.) 3 Σαυλος δε ελυμαινετο την εκκλησιαν· κατα τους οικους εισπορευομενος,[15] συρων τε ανδρας και γυναικας, παρεδιδου εις φυλακην. 4 Οἱ μεν ουν διασπαρεντες διηλθον ευαγγελιζομενοι τον λογον.

[Philip's ministry]

---

[1] των || --- 986,1855,2255 (/)
[2] αυτω || εαυτω [15%] 2218
[3] ναοις 35[c] || --- [5%] 35
[4] καθως || 1 και 1723 (s)
[5] τη καρδια 35[c] || ταις καρδιαις [3%] 35
[6] προδοται || προδοτε 1249,1725
[7] γεγενησθε 35[c] || εγενεσθε [5%] 35
[8] και || 11 1040 (i)
[9] οδοντας || 1 αυτων 2587 (s)
[10] The copyist of 1856 skipped verse 56 entire (obvious homoioteleuton), caught himself, erased a line and supplied the missing material correctly, in a cramped hand.
[11] εκβαλοντες || 1 αυτον 1892 (s)
[12] νεανιου || 1 του [10%] 149,201,386
[13] τουτο || τουτον 1617 (i)
[14] συνεκομισαν || συνεκομισαντο 2466 (s)
[15] εισπορευομενος || πορευομενος 1876 (s)

5 Φιλιππος δε, κατελθων εις πολιν της Σαμαρειας, εκηρυσσεν[1] αυτοις τον Χριστον· 6 προσειχον δε οἱ οχλοι τοις λεγομενοις ὑπο του Φιλιππου ὁμοθυμαδον, εν τω ακουειν αυτους και βλεπειν τα σημεια ἃ εποιει. 7 Πολλων γαρ των[2] εχοντων πνευματα ακαθαρτα βοωντα φωνη μεγαλη εξηρχετο, πολλοι δε παραλελυμενοι και χωλοι εθεραπευθησαν. 8 Και εγενετο χαρα μεγαλη εν τη πολει εκεινη!

[Simon the sorcerer]

9 Ανηρ δε τις ονοματι Σιμων προυπηρχεν[3] εν τη πολει, μαγευων και εξιστων το εθνος της Σαμαρειας, λεγων ειναι τινα ἑαυτον μεγαν, 10 ᾧ προσειχον, απο μικρου ἑως μεγαλου,[4] λεγοντες, "Οὑτος εστιν ἡ δυναμις του Θεου, ἡ μεγαλη". 11 Προσειχον δε αυτω δια το ἱκανω χρονω ταις μαγειαις εξεστακεναι αυτους. 12 Ὁτε δε επιστευσαν τω Φιλιππω, ευαγγελιζομενω τα περι της βασιλειας του Θεου και του ονοματος, Ιησου Χριστου, εβαπτιζοντο, ανδρες τε[5] και γυναικες. 13 Ὁ δε Σιμων και αυτος επιστευσεν, και βαπτισθεις ἦν προσκαρτερων τω Φιλιππω· θεωρων τε[6] δυναμεις[7] και σημεια γινομενα,[8] εξιστατο.

14 Ακουσαντες δε οἱ εν[9] Ἱεροσολυμοις αποστολοι ὁτι δεδεκται ἡ Σαμαρεια τον λογον του Θεου,[10] απεστειλαν προς αυτους τον[11] Πετρον και Ιωαννην, 15 οἵτινες καταβαντες προσηυξαντο περι αυτων, ὁπως λαβωσιν Πνευμα Ἁγιον, 16 ουπω γαρ ἦν επ' ουδενι αυτων επιπεπτωκος· μονον δε βεβαπτισμενοι ὑπηρχον εις το ονομα του Χριστου,[12] Ιησου. 17 Τοτε επετιθουν τας χειρας επ' αυτους, και ελαμβανον Πνευμα Ἁγιον.

18 Θεασαμενος δε ὁ Σιμων ὁτι δια της επιθεσεως των χειρων των αποστολων διδοται το Πνευμα[13] το Ἁγιον, προσηνεγκεν αυτοις χρηματα, 19 λεγων, "Δοτε καμοι την εξουσιαν ταυτην, ἱνα ᾧ αν[14] επιθω τας χειρας λαμβανη[15] Πνευμα Ἁγιον". 20 Πετρος δε ειπεν προς αυτον: "Το αργυριον σου συν σοι ειη εις απωλειαν,[16] ὁτι την δωρεαν του Θεου ενομισας δια χρηματων κτασθαι! 21 Ουκ εστιν σοι μερις[17] ουδε κληρος εν τω λογω τουτω, ἡ γαρ[18] καρδια σου ουκ εστιν ευθεια εναντιον του Θεου. 22 Μετανοησον ουν απο της κακιας σου ταυτης[19] και δεηθητι του Θεου,[20] ει αρα αφεθησεται σοι ἡ επινοια της καρδιας σου· 23 εις γαρ χοληνν[21] πικριας και συνδεσμον αδικιας ὁρω σε οντα." 24 Αποκριθεις δε ὁ

---

[1] εκηρυσσεν || εκηρυσεν 2466 (i)
[2] των || --- 1856 (s)
[3] προυπηρχεν || προυπηρχον 1725
[4] μεγαλου || 1 αυτων 1725,328
[5] τε || --- 1876,2261 (/)
[6] τε || δε 444 (s)
[7] δυναμεις 35c || 1 μεγαλας 35 (probably)
[8] γινομενα || γενομενα 1892 (s)
[9] εν 1856c || --- 1856
[10] η σμαρεια τον λογον του θεου || ~ 345612 1761 (s)
[11] τον 35c || --- [7%] 35
[12] χριστου || κυριου [30%] 201
[13] το πνευμα || --- 1897 (s)
[14] αν || εαν [40%] 386,801 (sp)
[15] λαμβανη 1140c || λαμβανει 1140
[16] ειη εις απωλειαν || ~ 231 2466 (s)
[17] μερις || μερος 1548 (i)
[18] γαρ || δε 444 (s)
[19] ταυτης 1248c || τακτης 1248
[20] και δεηθητι του θεου || --- 328 (s)
[21] χοληνν || σχοληνν 1548 (s)

Σιμων ειπεν, "Δεηθητε ὑμεις ὑπερ εμου[1] προς τον Κυριον, ὁπως μηδεν επελθη[2] επ' εμε ὡν ειρηκατε!"

25 Οἱ μεν ουν διαμαρτυραμενοι και λαλησαντες τον λογον[3] του Κυριου, ὑπεστρεψαν εις Ἱερουσαλημ· πολλας τε κωμας των Σαμαρειτων ευηγγελισαντο.

[The Ethiopian treasurer]

26 Αγγελος δε Κυριου ελαλησεν προς Φιλιππον,[4] λεγων, "Αναστηθι και πορευου κατα μεσημβριαν επι την ὁδον την καταβαινουσαν[5] απο Ἱερουσαλημ εις Γαζαν· αὐτη εστιν ερημος". 27 Και αναστας επορευθη· και ιδου, ανηρ Αιθιοψ, ευνουχος, δυναστης Κανδακης[6] της βασιλισσης Αιθιοπων, ὃς ἦν επι πασης της γαζης αυτης, ὃς εληλυθει προσκυνησων εις Ἱερουσαλημ 28—ἦν τε ὑποστρεφων και καθημενος επι του ἁρματος αυτου, και[7] ανεγινωσκεν τον προφητην Ἡσαιαν. 29 Ειπεν δε το Πνευμα τω Φιλιππω, "Προσελθε και κολληθητι τω ἁρματι τουτω". 30 Προσδραμων δε ὁ Φιλιππος ηκουσεν αυτου αναγινωσκοντος τον προφητην Ἡσαιαν, και ειπεν,[8] "Αρα γε γινωσκεις ἃ αναγινωσκεις?" 31 Ὁ δε[9] ειπεν, "Πως γαρ αν δυναιμην, εαν μη τις ὁδηγηση με?"[10] Παρεκαλεσεν τε[11] τον Φιλιππον αναβαντα καθισαι συν αυτω.

32 Ἡ δε περιοχη της Γραφης ἣν ανεγινωσκεν ἦν αὐτη: "'Ως προβατον επι σφαγην ηχθη· και ὡς αμνος εναντιον του κειροντος αυτον αφωνος, οὑτως[12] ουκ ανοιγει το στομα αυτου. 33 Εν τη ταπεινωσει αυτου ἡ κρισις αυτου ηρθη, την δε γενεαν αυτου τίς διηγησεται? Ὁτι αιρεται απο της γης ἡ ζωη αυτου." 34 Αποκριθεις δε ὁ ευνουχος τω Φιλιππω ειπεν, "Δεομαι σου, περι τινος ὁ προφητης λεγει τουτο, περι ἑαυτου ἠ περι ἑτερου τινος?" 35 Ανοιξας δε ὁ Φιλιππος το στομα αυτου και αρξαμενος απο της Γραφης ταυτης, ευηγγελισατο αυτω τον Ιησουν.

36 Ὡς δε επορευοντο κατα την[13] ὁδον ηλθον επι τι ὑδωρ, και φησιν ὁ ευνουχος: "Ἰδου, ὑδωρ! Τί κωλυει με βαπτισθηναι?" 38 Και εκελευσεν στηναι το ἁρμα, και κατεβησαν αμφοτεροι εις το ὑδωρ, ὅ τε Φιλιππος και ὁ ευνουχος, και εβαπτισεν αυτον. 39 Ὁτε δε ανεβησαν εκ[14] του ὑδατος, Πνευμα Κυριου ἡρπασεν τον Φιλιππον, και ουκ ειδεν αυτον ουκετι[15] ὁ ευνουχος· επορευετο γαρ την ὁδον αυτου χαιρων.

40 Φιλιππος δε εὑρεθη εις Αζωτον, και διερχομενος ευηγγελιζετο τας πολεις πασας[16] ἑως του ελθειν αυτον εις[17] Καισαρειαν.

[Saul of Tarsus]

9.1 Ὁ δε Σαυλος, ετι[18] εμπνεων απειλης και φονου εις τους μαθητας του Κυριου, προσελθων τω αρχιερει, 2 ητησατο παρ αυτου επιστολας εις Δαμασκον προς τας

---

[1] υπερ εμου || --- 2352 (s)
[2] επελθη || επελθοι 444 (s)
[3] λογον || λογου 2466 (i)
[4] φιλιππον || φιλιπον 1876 (sp)
[5] καταβαινουσαν || αναβαινουσαν 1876 (s)
[6] κανδακης || κανδακη 2466 (sp)
[7] και || --- [60%] 328,1761
[8] ειπεν || 1 αυτω 1247 (s)
[9] ο δε || και 201 (s)
[10] οδηγηση με || ~ 21 1892 (s)
[11] τε || --- 1247 (s)
[12] ουτως || ουτο 2261 (s)
[13] την || --- 801 (s)
[14] εκ || απο 1725 (s)
[15] ουκετι || --- 149 (s)
[16] πασας || --- 604 (s)
[17] εις || 1 την 1876 (s)
[18] ετι || --- 1248 (s)

συναγωγας, ὁπως εαν τινας εὑρη της Ὁδου οντας, ανδρας τε και γυναικας, δεδεμενους αγαγη εις Ἱερουσαλημ.

[Jesus chooses Saul]

3 Εν δε τω πορευεσθαι, εγενετο αυτον εγγιζειν τη Δαμασκω, και εξαιφνης περιηστραψεν αυτον φως απο του ουρανου· 4 και πεσων επι την γην ηκουσεν φωνην λεγουσαν αυτω, "Σαουλ, Σαουλ, τί με διωκεις?" 5 Ειπεν δε, "Τίς εἶ, Κυριε?" Ὁ δε Κυριος ειπεν, "Ἐγω ειμι[1] Ιησους,[2] ὃν συ διωκεις· 6 αλλα αναστηθι και εισελθε εις την πολιν, και λαληθησεται σοι τί σε δει ποιειν". 7 Οἱ δε ανδρες οἱ συνοδευοντες αυτω εἱστηκεισαν ενεοι,[3] ακουοντες μεν της φωνης, μηδενα δε θεωρουντες. 8 Ηγερθη δε ὁ Σαυλος απο της γης, ανεωγμενων τε[4] των οφθαλμων αυτου, ουδενα εβλεπεν· χειραγωγουντες δε αυτον εισηγαγον εις Δαμασκον. 9 Και ἠν ἡμερας τρεις μη βλεπων, και ουκ εφαγεν ουδε επιεν.

[Ananias sent to Saul]

10 Ἦν δε τις μαθητης εν Δαμασκω[5] ονοματι Ανανιας, και ειπεν προς αυτον ὁ Κυριος εν ὁραματι, "Ανανια!" Ὁ δε ειπεν, "Ἰδου εγω, Κυριε". 11 Ὁ δε Κυριος προς αυτον: "Αναστας πορευθητι επι την ῥυμην την καλουμενην Ευθειαν, και ζητησον εν οικια Ιουδα Σαυλον ονοματι, Ταρσεα· ιδου γαρ προσευχεται, 12 και ειδεν εν ὁραματι ανδρα Ανανιαν ονοματι εισελθοντα και επιθεντα αυτω χειρα, ὁπως αναβλεψη." 13 Απεκριθη δε[6] Ανανιας: "Κυριε, ακηκοα απο πολλων περι του ανδρος τουτου, ὁσα κακα εποιησεν τοις ἁγιοις σου εν Ἱερουσαλημ. 14 Και ὡδε εχει εξουσιαν[7] παρα των αρχιερεων δησαι παντας τους επικαλουμενους το ονομα σου." 15 Ειπεν δε προς αυτον ὁ Κυριος: "Πορευου, ὁτι σκευος εκλογης μοι εστιν οὑτος, του βαστασαι το[8] ονομα μου ενωπιον εθνων και βασιλεων, υἱων τε Ισραηλ· 16 εγω γαρ ὑποδειξω αυτω ὁσα δει αυτον[9] ὑπερ του ονοματος μου παθειν." 17 Απηλθεν δε Ανανιας και εισηλθεν εις την οικιαν, και επιθεις επ' αυτον τας χειρας ειπεν, "Σαουλ αδελφε, ὁ Κυριος απεσταλκεν με,[10] ὁ οφθεις σοι εν τη ὁδω ᾗ ηρχου, ὁπως αναβλεψης και πλησθης[11] Πνευματος Ἁγιου". 18 Και ευθεως απεπεσον απο των οφθαλμων αυτου ὡσει λεπιδες, ανεβλεψεν τε παραχρημα· και[12] αναστας εβαπτισθη, 19 και λαβων τροφην ενισχυσεν. Εγενετο δε ὁ Σαυλος[13] μετα των εν Δαμασκω μαθητων ἡμερας τινας.

[Saul starts preaching]

20 Και ευθεως εν ταις συναγωγαις εκηρυσσεν τον Ιησουν,[14] ὁτι οὑτος εστιν ὁ Υἱος του Θεου. 21 Εξισταντο δε παντες οἱ ακουοντες και ελεγον: "Ουχ οὑτος εστιν ὁ πορθησας, εν Ἱερουσαλημ, τους επικαλουμενους το ονομα τουτο? Και ὡδε εις τουτο εληλυθεν, ἱνα δεδεμενους αυτους αγαγη[15] επι τους αρχιερεις." 22 Σαυλος δε μαλλον[16] ενεδυναμουτο και

---

[1] ειμι || 1 ο 444 (s)
[2] ιησους || 1 ο ναζωραιος 149 (s)
[3] ενεοι 35[c],2466[c] || εννεοι [40%] 35,141[c],328,386,394,801,928,986,1040,1058,1140,1247,1249,1482,1508,1548, 1723,1725,1746,1749,1761,1855,1856, 1892, 2218,2255,2431,2466,2587 (sp)
[4] τε || δε [12%] 801
[5] εν δαμασκω || --- 141 (s)
[6] δε || 1 αυτω 1725
[7] εχει εξουσιαν || ~ 21 1725,986
[8] το || τω 1749 (s)
[9] αυτον || --- 204 (s)
[10] με || 1 ιησους [10%] 1619,1636,1652
[11] πλησθης || πλησθεις [20%] 1503,1548,1723,2218
[12] και || --- 1247 (s)
[13] ο σαυλος 35[c] || --- [6%] 35
[14] ιησουν || χριστον [80%] 2255
[15] αυτους αγαγη 1732[c] || ~ 21 1732
[16] μαλλον || μαλον 1740 (i)

συνεχυνεν[1] τους Ιουδαιους τους κατοικουντας εν Δαμασκω, συμβιβαζων ὁτι οὑτος εστιν ὁ Χριστος.

[Saul escapes death]

23 Ὡς δε επληρουντο ἡμεραι ἱκαναι, συνεβουλευσαντο οἱ Ιουδαιοι ανελειν αυτον· 24 εγνωσθη δε τω Σαυλω ἡ επιβουλη αυτων. Παρετηρουν τε τας πυλας ἡμερας τε[2] και νυκτος, ὁπως αυτον ανελωσιν· 25 λαβοντες δε αυτον οἱ μαθηται[3] νυκτος,[4] καθηκαν δια του τειχους, χαλασαντες εν σπυριδι.

[Barnabas vouches for Saul]

26 Παραγενομενος δε ὁ Σαυλος εν Ἱερουσαλημ, επειρατο κολλασθαι τοις μαθηταις· και παντες εφοβουντο αυτον, μη πιστευοντες ὁτι εστιν μαθητης. 27 Βαρναβας δε επιλαβομενος αυτον ηγαγεν προς τους αποστολους, και διηγησατο αυτοις πως εν τη ὁδω ειδεν τον Κυριον, και ὁτι ελαλησεν αυτω, και πως εν Δαμασκω επαρρησιασατο εν τω ονοματι του Κυριου Ιησου. 28 Και ἦν μετ' αυτων εισπορευομενος και εκπορευομενος εν Ἱερουσαλημ, και παρρησιαζομενος εν τω ονοματι του[5] Ιησου.[6] 29 Ελαλει τε και συνεζητει προς τους Ἑλληνιστας· οἱ δε επεχειρουν ανελειν αυτον. 30 Επιγνοντες δε οἱ αδελφοι, κατηγαγον αυτον[7] εις Καισαρειαν και εξαπεστειλαν[8] εις Ταρσον.

[A brief respite]

31 Αἱ μεν ουν εκκλησιαι καθ' ὁλης της Ιουδαιας και Γαλιλαιας,[9] και Σαμαρειας, ειχον ειρηνην οικοδομουμεναι· και πορευομεναι τω φοβω του Κυριου και τη παρακλησει του Ἁγιου Πνευματος επληθυνοντο.[10]

[Peter's ministry]

32 Εγενετο δε, Πετρον διερχομενον δια παντων, κατελθειν και προς τους ἁγιους τους κατοικουντας Λυδδαν.

[Peter heals Aeneas]

33 Εὑρεν δε εκει ανθρωπον τινα Αινεαν ονοματι εξ ετων οκτω κατακειμενον επι κραββατω, ὃς ἦν παραλελυμενος. 34 Και ειπεν αυτω ὁ Πετρος: "Αινεα, ιαται σε Ιησους[11] ὁ[12] Χριστος. Αναστηθι και στρωσον σεαυτω!" Και ευθεως ανεστη! 35 Και ειδον αυτον παντες οἱ κατοικουντες Λυδδαν και τον Ασσαρωνα,[13] οἵτινες επεστρεψαν[14] επι τον Κυριον.

[Peter raises Dorcas]

36 Εν Ιοππη δε τις ἦν μαθητρια ονοματι Ταβηθα, ἣ διερμηνευομενη λεγεται Δορκας· αὑτη ἦν πληρης αγαθων εργων και ελεημοσυνων ὧν εποιει. 37 Εγενετο δε εν ταις ἡμεραις εκειναις ασθενησασαν αυτην αποθανειν· λουσαντες δε αυτην εθηκαν εν τω ὑπερωω. 38 Εγγυς δε ουσης Λυδδης τη Ιοππη, οἱ μαθηται, ακουσαντες ὁτι Πετρος εστιν εν αυτη, απεστειλαν προς αυτον παρακαλουντες μη οκνησαι διελθειν ἑως αυτων. 39 Αναστας δε Πετρος συνηλθεν αυτοις· ὃν παραγενομενον ανηγαγον εις το ὑπερωον, και παρεστησαν αυτω πασαι αἱ χηραι κλαιουσαι και επιδεικνυμεναι χιτωνας και ἱματια ὁσα εποιει μετ' αυτων ουσα ἡ Δορκας. 40 Εκβαλων δε εξω παντας, ὁ Πετρος θεις τα γονατα προσηυξατο,

---

[1] συνεχυνεν || συνεχεε 604
[2] τε || --- [24%] 1637,1725,2218
[3] αυτον οι μαθηται || ~ 231 (3%) 1548
[4] 1248 omits ὁπως αυτον ανελωσιν λαβοντες δε αυτον οἱ μαθηται νυκτος (clear homoioteleuton)
[5] του || --- 386 (s)
[6] 1656 omitted the prior 19 words, that were then supplied correctly in the margin.
[7] αυτον || --- 1247 (s)
[8] εξαπεστειλαν || 1 αυτον [80%] 1140,1247,2466
[9] και γαλιλαιας || --- 1892 (h)
[10] επληθυνοντο 35[c] || επληθυνετο (9.3%) 35
[11] ιησους || --- 1725
[12] ο || --- [2%] 1876
[13] ασσαρωνα || σαρωναν [5%] 1548 (sp)
[14] επεστρεψαν || επιστρεψαν 204 (s)

και επιστρεψας προς το σωμα ειπεν, "Ταβηθα, αναστηθι!" Ἡ δε ηνοιξεν τους οφθαλμους αυτης, και ιδουσα τον Πετρον ανεκαθισεν. 41 Δους δε αυτη χειρα ανεστησεν αυτην, φωνησας δε τους ἁγιους και τας χηρας παρεστησεν αυτην ζωσαν. 42 Γνωστον δε εγενετο καθ' ὁλης της Ιοππης, και πολλοι επιστευσαν επι τον Κυριον. 43 Εγενετο δε αυτον ἡμερας ἱκανας μειναι εν Ιοππη παρα τινι Σιμωνι, βυρσει.

[The case of Cornelius]

10.1 Ανηρ δε τις ἦν εν Καισαρεια[1] ονοματι Κορνηλιος, ἑκατονταρχης εκ σπειρας της καλουμενης Ιταλικης, 2 ευσεβης και φοβουμενος τον Θεον συν παντι τω οικω αυτου, ποιων τε ελεημοσυνας πολλας τω λαω και δεομενος του Θεου δια παντος. 3 Ειδεν εν ὁραματι φανερως, ὡσει[2] ὡραν ενατην[3] της ἡμερας, αγγελον του[4] Θεου εισελθοντα προς αυτον και ειποντα αυτω, "Κορνηλιε!" 4 Ὁ δε, ατενισας αυτω και εμφοβος γενομενος, ειπεν, "Τι εστιν, Κυριε?" Ειπεν δε αυτω: "Αἱ προσευχαι σου και αἱ[5] ελεημοσυναι σου ανεβησαν εις μνημοσυνον ενωπιον του Θεου. 5 Και νυν πεμψον εις Ιοππην ανδρας και μεταπεμψαι Σιμωνα, ὃς επικαλειται Πετρος· 6 ὁυτος ξενιζεται παρα τινι Σιμωνι, βυρσει, ᾧ εστιν οικια παρα θαλασσαν." 7 Ὡς δε απηλθεν ὁ αγγελος ὁ[6] λαλων τω Κορνηλιω,[7] φωνησας δυο των οικετων αυτου και στρατιωτην ευσεβη των προσκαρτερουντων αυτω, 8 και εξηγησαμενος αυτοις[8] ἁπαντα απεστειλεν αυτους εις την[9] Ιοππην.[10]

[God prepares Peter]

9 Τη δε επαυριον, ὁδοιπορουντων εκεινων και τη πολει εγγιζοντων, ανεβη Πετρος επι το δωμα προσευξασθαι περι ὡραν ἑκτην. 10 Εγενετο δε προσπεινος και ηθελεν[11] γευσασθαι· παρασκευαζοντων δε εκεινων, επεπεσεν επ' αυτον εκστασις, 11 και θεωρει τον ουρανον ανεωγμενον,[12] και καταβαινον επ' αυτον σκευος τι ὡς οθονην μεγαλην—τεσσαρσιν[13] αρχαις δεδεμενον,[14,15] και καθιεμενον επι της γης—12 εν ᾧ ὑπηρχεν παντα τα τετραποδα της γης (και τα θηρια και τα ἑρπετα) και τα πετεινα του ουρανου. 13 Και εγενετο φωνη προς αυτον, "Ἀναστας, Πετρε, θυσον και φαγε!" 14 Ὁ δε Πετρος ειπεν: "Μηδαμως, Κυριε! Ὁτι ουδεποτε εφαγον παν κοινον ἠ ακαθαρτον!" 15 Και φωνη παλιν εκ δευτερου προς αυτον, ""Α ὁ Θεος εκαθαρισεν, συ μη κοινου!" 16 Τουτο δε εγενετο επι τρις,[16] και παλιν ανεληφθη το σκευος εις τον ουρανον.

[the messengers arrive]

17 Ὡς δε εν ἑαυτω διηπορει ὁ Πετρος τί αν ειη το ὁραμα ὃ ειδεν, και ιδου, οἱ ανδρες οἱ απεσταλμενοι ὑπο του[17] Κορνηλιου, διερωτησαντες την οικιαν[18] Σιμωνος, επεστησαν επι τον πυλωνα, 18 και φωνησαντες επυνθανοντο ει Σιμων, ὁ επικαλουμενος

---

[1] καισαρεια || κεσαρεια 757 (sp)
[2] ωσει || περι [1%] 386 || ως περι [3%] 2080
[3] ενατην 35[c] || εννατην [35%] 35,328,394,928,986,1247,1249,1482,1508,1725,1732,1749,1855,1856,2255,2431
[4] του || --- 986 (s)
[5] αι || --- 801,1247 (/)
[6] ο || --- [30%] 1856
[7] κορνηλιω || κορνιλιω 1617 (sp)
[8] αυτοις || --- 1892 (s)
[9] την || --- [8%] 328
[10] ιοππην || ιοπην 1075 (sp)
[11] ηθελεν || ειθελε 1617 (s)
[12] ανεωγμενον || 1 και θεωρει τον ουρανον 1248 (s) || ανεωμενον 2218 (i)
[13] τεσσαρσιν || τεσαρσιν 757 (sp)
[14] τεσσαρσιν αρχαις δεδεμενον || --- 444 (s)
[15] δεδεμενον || δεδεμενην 801 (s)
[16] τρις 201[c] || τρεις [25%] 201,1876,2352
[17] του || --- 1140,2466 (/)
[18] οικιαν 35[c] || 1 του [8%] 35

Πετρος, ενθαδε ξενιζεται. 19 Του δε Πετρου διενθυμουμενου περι του ὁραματος ειπεν αυτω το Πνευμα: "Ἰδου, ανδρες[1] ζητουσιν σε· 20 αλλα αναστας καταβηθι, και πορευου συν αυτοις μηδεν διακρινομενος, διοτι[2] εγω απεσταλκα[3] αυτους." 21 Καταβας δε Πετρος προς τους ανδρας, ειπεν: "Ἰδου,[4] εγω ειμι ὃν ζητειτε. Τίς ἡ αιτια δι' ἣν παρεστε?" 22 Οἱ δε ειπον: "Κορνηλιος, ἑκατονταρχης, ανηρ δικαιος και φοβουμενος τον Θεον, μαρτυρουμενος τε ὑπο ὁλου του εθνους των Ιουδαιων, εχρηματισθη ὑπο αγγελου[5] μεταπεμψασθαι σε εις τον οικον αυτου και ακουσαι ῥηματα παρα σου." 23 Εισκαλεσαμενος ουν αυτους εξενισεν.

[on to Caesarea]

Τη δε επαυριον ὁ Πετρος εξηλθεν συν αυτοις, και τινες των αδελφων των απο Ιοππης συνηλθον αυτω· 24 και τη επαυριον εισηλθον[6] εις την[7] Καισαρειαν. Ὁ δε Κορνηλιος ἦν προσδοκων αυτους, συγκαλεσαμενος τους συγγενεις αυτου και τους αναγκαιους φιλους. 25 Ὡς δε εγενετο του εισελθειν τον Πετρον, συναντησας αυτω ὁ Κορνηλιος,[8] πεσων επι τους ποδας προσεκυνησεν. 26 Ὁ δε Πετρος ηγειρεν αυτον, λεγων: "Αναστηθι![9] Καγω αυτος ανθρωπος ειμι." 27 Και συνομιλων αυτω εισηλθεν, και εὑρισκει συνεληλυθοτας πολλους.[10] 28 Εφη τε προς αυτους: "Ὑμεις επιστασθε ὡς αθεμιτον εστιν ανδρι Ιουδαιω κολλασθαι[11] ἢ προσερχεσθαι αλλοφυλω· και εμοι ὁ Θεος εδειξεν μηδενα κοινον ἢ ακαθαρτον λεγειν ανθρωπον. 29 Διο[12] και αναντιρρητως[13] ηλθον μεταπεμφθεις.[14] Πυνθανομαι ουν, τίνι λογω μετεπεμψασθε[15] με?"

30 Και ὁ Κορνηλιος εφη: "Απο τεταρτης ἡμερας μεχρι ταυτης της ὡρας[16] ημην νηστευων· και την ενατην[17] ὡραν[18] προσευχομενος εν τω οικω μου, και ιδου, ανηρ εστη ενωπιον μου εν εσθητι λαμπρα[19] 31 και φησιν: Ἰκορνηλιε, εισηκουσθη σου ἡ προσευχη[20] και αἱ ελεημοσυναι σου εμνησθησαν ενωπιον του Θεου. 32 Πεμψον ουν εις Ιοππην και μετακαλεσαι Σιμωνα, ὃς επικαλειται[21] Πετρος. Οὑτος ξενιζεται εν οικια Σιμωνος,[22] βυρσεως, παρα θαλασσαν· ὃς παραγενομενος[23] λαλησει σοι.'[24] 33 Εξαυτης ουν επεμψα προς σε, συ τε καλως εποιησας παραγενομενος. Νυν ουν, παντες ἡμεις ενωπιον του Θεου παρεσμεν ακουσαι παντα τα προστεταγμενα σοι ὑπο του Θεου."

[Peter preaches]

---

[1] ανδρες || 1 τρης 1865c,2080c (both later hand) || 1 τρεις [5%]
[2] διοτι || οτι [10%] 149,201
[3] 1247 omits αυτοις μηδεν διακρινομενος διοτι εγω απεσταλκα
[4] ιδου || --- 986 (s)
[5] αγγελου || 1 αγιου [80%] 1892c
[6] εισηλθον || εισηλθεν [10%] 204
[7] την || --- 986 (s)
[8] κορνηλιος 1140c || κορνηνηλιος 1140 (from one line to the next)
[9] 1400 repeats αναστηθι from one page to the next
[10] πολλους || πολους 2218 (i)
[11] κολλασθαι || κολλασθε 328 (s)
[12] διο || --- 986 (s)
[13] αναντιρρητως || ανανταρρητως 1876 (i)
[14] μεταπεμφθεις || μεταπεμφεις 2466 (i)
[15] μετεπεμψασθε || μετεπεμψασθαι [15%] 1628
[16] ταυτης της ωρας || ~ 31 1892 (s)
[17] ενατην 35c || εννατην [35%] 35,328,928,986,1247,1249,1482,1508,1723,1749,1855,1856,2255,2431 (sp)
[18] ωραν || 1 ημην 2431 (s)
[19] λαμπρα || λευκη 328 (s)
[20] σου η προσευχη || ~ 231 2431 (s)
[21] επικαλειται || επικαλειλειται 1248 (from one page to the next)
[22] σιμωνος || 1 τινος 2080 (s)
[23] παρα θαλασσαν ὃς παραγενομενος || --- 1248 (s)
[24] ος παραγενομενος λαλησει σοι || --- (4.6%) 1761

34 Ανοιξας δε Πετρος το στομα ειπεν: "Επ' αληθειας καταλαμβανομαι ὁτι ουκ εστιν προσωποληπτης ὁ Θεος, 35 αλλ' εν παντι εθνει ὁ φοβουμενος αυτον και εργαζομενος δικαιοσυνην δεκτος αυτω εστιν. 36 Τον λογον ὃν απεστειλεν τοις υἱοις Ισραηλ, ευαγγελιζομενος ειρηνην δια Ιησου Χριστου—οὑτος εστιν παντων Κυριος—37 ὑμεις οιδατε, το γενομενον ῥημα καθ' ὁλης της Ιουδαιας, αρξαμενον απο της Γαλιλαιας, μετα το βαπτισμα, ὃ εκηρυξεν[1] Ιωαννης: 38 Ιησουν τον απο Ναζαρετ, ὡς εχρισεν αυτον ὁ Θεος Πνευματι Ἁγιω και δυναμει, ὃς διηλθεν ευεργετων και ιωμενος παντας τους καταδυναστευομενους ὑπο του διαβολου, ὁτι ὁ Θεος ἦν μετ' αυτου 39—και ἡμεις εσμεν[2] μαρτυρες παντων ὡν εποιησεν, εν τε τη χωρα των Ιουδαιων και εν Ἱερουσαλημ—ὃν και ανειλον, κρεμασαντες επι ξυλου. 40 Τουτον ὁ Θεος ηγειρεν τη τριτη ἡμερα, και εδωκεν αυτον εμφανη γενεσθαι, 41 ου παντι τω λαω, αλλα μαρτυσιν τοις προκεχειροτονημενοις ὑπο του[3] Θεου, ἡμιν, οἱτινες συνεφαγομεν και συνεπιομεν αυτω μετα το αναστηναι αυτον εκ νεκρων. 42 Και παρηγγειλεν ἡμιν κηρυξαι τω λαω, και διαμαρτυρασθαι ὁτι αυτος εστιν ὁ ὡρισμενος ὑπο του Θεου Κριτης ζωντων και νεκρων. 43 Τουτω παντες οἱ προφηται μαρτυρουσιν, αφεσιν ἁμαρτιων λαβειν δια του ονοματος αυτου παντα τον πιστευοντα[4] εις αυτον."

[the Holy Spirit falls]

44 Ετι λαλουντος του Πετρου τα ῥηματα ταυτα, επεπεσεν το Πνευμα το Ἁγιον επι παντας τους ακουοντας τον λογον. 45 Και εξεστησαν οἱ εκ περιτομης πιστοι ὁσοι συνηλθον τω Πετρω, ὁτι και επι τα εθνη ἡ δωρεα του Ἁγιου Πνευματος εκκεχυται· 46 ηκουον γαρ αυτων λαλουντων γλωσσαις και μεγαλυνοντων τον Θεον. Τοτε απεκριθη ὁ Πετρος: 47 "Μητι το ὑδωρ κωλυσαι δυναται τις του μη βαπτισθηναι τουτους οἱτινες το Πνευμα το Ἁγιον ελαβον ως και ἡμεις?" 48 Προσεταξεν τε αυτους βαπτισθηναι εν τω ονοματι του Κυριου Ιησου. Τοτε ηρωτησαν αυτον επιμειναι ἡμερας τινας.

[Peter has to explain]

11.1 Ηκουσαν δε οἱ αποστολοι και οἱ αδελφοι οἱ οντες κατα την Ιουδαιαν ὁτι και τα εθνη εδεξαντο τον λογον του Θεου. 2 Και ὁτε ανεβη Πετρος εις Ἱεροσολυμα, διεκρινοντο προς αυτον οἱ εκ περιτομης, 3 λεγοντες ὁτι "Εισηλθες προς ανδρας ακροβυστιαν εχοντας[5] και συνεφαγες αυτοις!"

4 Αρξαμενος δε ὁ[6] Πετρος εξετιθετο αυτοις καθεξης λεγων: 5 "Εγω ημην εν[7] πολει Ιοππη προσευχομενος, και ειδον εν εκστασει[8] ὁραμα: καταβαινον σκευος τι ὡς οθονην μεγαλην, τεσσαρσιν αρχαις καθιεμενην, εκ του ουρανου, και ηλθεν αχρις εμου· 6 εις ἣν ατενισας κατενοουν[9] και ειδον τα τετραποδα της γης—και τα θηρια και τα ἑρπετα—και τα πετεινα του ουρανου. 7 Ηκουσα δε φωνης λεγουσης[10] μοι, Ἀναστας, Πετρε, θυσον και φαγε!' 8 Ειπον δε: Μηδαμως, Κυριε! Ὁτι παν κοινον ἡ ακαθαρτον ουδεποτε[11] εισηλθεν εις το στομα μου!' 9 Απεκριθη δε μοι εκ δευτερου φωνη[12] εκ του ουρανου, '"Α ὁ Θεος εκαθαρισεν συ μη κοινου'. 10 Τουτο δε εγενετο επι τρις, και παλιν ανεσπασθη ἁπαντα εις

---

[1] εκηρυξεν || 1 ο 986 (s)
[2] εσμεν 35^{c} || --- [4%] 35
[3] του || --- 986 (s)
[4] 1400 repeats τον πιστευοντα
[5] εισηλθες προς ανδρας ακροβυστιαν εχοντας || ~ 23451 1725
[6] ο 35^{c} || --- [5%] 35
[7] εν || 1 τη 801,1876 (/)
[8] 2378 is missing 1:1 – 11:5.
[9] 2441 is missing 1:1 – 11:6.
[10] λεγουσης || λεγουση 201 (i)
[11] ουδεποτε || 1 εφαγον η 328 (s)
[12] εκ δευτερου φωνη || ~ 312 [80%] 328,394,928,986,1247,1249,1482,1723,1749,1855,1856,2255,2431,2441 || --- 2378 (s)

τον ουρανον. 11 Και ιδου, εξαυτης τρεις ανδρες επεστησαν επι την οικιαν εν ᾗ ημην, απεσταλμενοι απο Καισαρειας προς με. 12 Ειπεν δε μοι το Πνευμα συνελθειν αυτοις, μηδεν διακρινομενον. Ηλθον δε συν εμοι και οἱ[1] ἓξ αδελφοι οὑτοι, και εισηλθομεν εις τον οικον του ανδρος. 13 Απηγγειλεν δε ἡμιν πως ειδεν τον αγγελον[2] εν[3] τω οικω αυτου σταθεντα και ειποντα αυτω, Ἀποστειλον εις Ιοππην[4] και μεταπεμψαι[5] Σιμωνα, τον επικαλουμενον Πετρον, 14 ὃς λαλησει ῥηματα προς σε εν οἷς σωθηση συ και πας ὁ οικος σου'. 15 Εν δε τω[6] αρξασθαι με λαλειν, επεπεσεν το Πνευμα το Ἁγιον επ' αυτους,[7] ὡσπερ και εφ' ἡμας εν αρχη. 16 Εμνησθην δε του ῥηματος του Κυριου, ὡς ελεγεν οτι Ἰωαννης μεν εβαπτισεν ὑδατι, ὑμεις δε βαπτισθησεσθε εν Πνευματι Ἁγιω'. 17 Ει ουν την ισην δωρεαν εδωκεν αυτοις ὁ Θεος ὡς και ἡμιν πιστευσασιν επι τον Κυριον Ιησουν, εγω[8] τίς ημην δυνατος κωλυσαι τον Θεον?" 18 Ακουσαντες δε ταυτα ἡσυχασαν και εδοξαζον[9] τον Θεον,[10] λεγοντες, "Αραγε και[11] τοις εθνεσιν ὁ Θεος την μετανοιαν εδωκεν[12] εις ζωην!"

[Enter Barnabas]

19 Οἱ μεν ουν διασπαρεντες απο της θλιψεως της γενομενης επι Στεφανω διηλθον ἑως Φοινικης και Κυπρου και Αντιοχειας, μηδενι λαλουντες τον λογον ει μη μονον Ιουδαιοις. 20 Ησαν δε τινες εξ αυτων, ανδρες Κυπριοι και Κυρηναιοι,[13] οἵτινες εισελθοντες εις[14] Αντιοχειαν ελαλουν προς τους Ἑλληνιστας, ευαγγελιζομενοι τον Κυριον Ιησουν. 21 Και ἦν χειρ Κυριου μετ' αυτων, πολυς τε αριθμος πιστευσας επεστρεψεν επι τον Κυριον.[15] 22 Ηκουσθη δε ὁ λογος εις τα ωτα της εκκλησιας της[16] εν Ἱεροσολυμοις περι αυτων, και εξαπεστειλαν Βαρναβαν διελθειν ἑως Αντιοχειας· 23 ὃς παραγενομενος και ιδων την χαριν του Θεου εχαρη, και παρεκαλει παντας τη προθεσει της καρδιας προσμενειν τω Κυριω 24 (ὁτι ἦν ανηρ αγαθος και πληρης Πνευματος Ἁγιου και πιστεως).[17] Και προσετεθη οχλος ἱκανος τω Κυριω.

25 Εξηλθεν δε εις Ταρσον ὁ Βαρναβας[18] αναζητησαι Σαυλον, 26 και εὑρων[19] ηγαγεν εις[20] Αντιοχειαν. Εγενετο δε αυτους ενιαυτον ὁλον συναχθηναι[21] τη εκκλησια και διδαξαι οχλον ἱκανον. Χρηματισαι[22] τε πρωτον εν Αντιοχεια τους μαθητας Χριστιανους.

---

[1] οι || --- 328 (s)
[2] αγγελον || 1 του θεου 2080[c]
[3] εν || εις 2431 (s)
[4] ιοππην || 1 ανδρας [75%] 1247,1892[c]
[5] μεταπεμψαι || μετακαλεσαι 1058,2587 (/)
[6] τω || --- 1897 (s) || το 1723 (s)
[7] το πνευμα το αγιον επ αυτους || ~ 561234 1140,2466 (/)
[8] εγω || 1 δε 1725
[9] εδοξαζον || εδοξασαν [30%] 201
[10] ακουσαντες δε ταυτα ησυχασαν και εδοξαζον τον θεον || --- 1247,1897 (obvious homoioteleuton—a whole line)
[11] και || --- 2261,2378 (/)
[12] ο θεος την μετανοιαν εδωκεν || ~ 51234 1761 (s)
[13] κυρηναιοι || κηρηναιοι 1617 (sp)
[14] εις || 1 την 1248,1740 (/)
[15] κυριον || 1 ιησουν 394,1749 (/)
[16] 2441 is missing 11:22 – 12:19.
[17] και πληρης πνευματος αγιου και πιστεως || --- 1761 (s)
[18] βαρναβας || 1 και 1247 (s)
[19] ευρων || 1 αυτον [75%] 1247
[20] εις || 1 την 444 (s)
[21] συναχθηναι 35[c],1652[c] || 1 εν [20%] 35,141,204,328,394,444,604,801,928,986,1058,1247,1249,1482,1508,1723, 1725,1732,1746,1749,1761,1855,1856,1876, 1897,2080,2255,2261,2431,2554,2587
[22] χρηματισαι || χρηματησαι 2218 (i)

[Enter Agabos]

27 Εν ταυταις δε ταις ημεραις, κατηλθον απο Ιεροσολυμων προφηται εις Αντιοχειαν. 28 Αναστας δε[1] εἷς εξ αυτων ονοματι Αγαβος,[2] εσημανεν δια του Πνευματος λιμον μεγαν μελλειν[3] εσεσθαι εφ' ὁλην την οικουμενην (ὁστις[4] και[5] εγενετο επι Κλαυδιου Καισαρος). 29 Των δε μαθητων, καθως ευπορειτο[6] τις, ὡρισαν ἑκαστος αυτων εις διακονιαν πεμψαι τοις κατοικουσιν εν τη Ιουδαια αδελφοις· 30 ὃ και εποιησαν αποστειλαντες προς τους[7] πρεσβυτερους δια χειρος Βαρναβα και Σαυλου.

[Enter Herod]

12.1 Κατ' εκεινον δε[8] τον καιρον, επεβαλεν Ἡρωδης ὁ βασιλευς τας χειρας κακωσαι τινας των απο της εκκλησιας. 2 Ανειλεν δε[9,10] Ιακωβον, τον αδελφον Ιωαννου, μαχαιρα. 3 Και ιδων ὁτι αρεστον εστιν τοις Ιουδαιοις, προσεθετο συλλαβειν και Πετρον (ησαν δε αἱ[11] ἡμεραι των αζυμων) 4—ὃν και πιασας εθετο εις φυλακην, παραδους τεσσαρσιν τετραδιοις στρατιωτων φυλασσειν αυτον, βουλομενος μετα το Πασχα αναγαγειν[12] αυτον τω λαω.

[Enter angel]

5 Ὁ μεν ουν Πετρος ετηρειτο εν τη φυλακη, προσευχη δε ἦν εκτενης γινομενη ὑπο της εκκλησιας προς τον Θεον ὑπερ αυτου. 6 Ὁτε δε εμελλεν προαγειν αυτον ὁ Ἡρωδης, τη νυκτι εκεινη ἦν ὁ Πετρος κοιμωμενος μεταξυ[13] δυο στρατιωτων, δεδεμενος ἁλυσεσιν δυσιν, φυλακες τε προ της θυρας ετηρουν την φυλακην. 7 Και ιδου, αγγελος Κυριου επεστη, και φως ελαμψεν εν τω οικηματι· παταξας δε την πλευραν του Πετρου, ηγειρεν αυτον λεγων, "Αναστα εν ταχει!", και εξεπεσον[14] αυτου αἱ ἁλυσεις εκ των χειρων. 8 Ειπεν τε ὁ αγγελος προς αυτον, "Περιζωσαι και ὑποδησαι[15] τα σανδαλια σου". Εποιησεν δε οὑτως.[16] Και λεγει αυτω, "Περιβαλου το ἱματιον σου και ακολουθει μοι". 9 Και εξελθων ηκολουθει αυτω, και ουκ ηδει ὁτι αληθες εστιν το γινομενον[17] δια του αγγελου· εδοκει δε ὁραμα βλεπειν.
10 Διελθοντες δε πρωτην φυλακην και δευτεραν, ηλθον επι την πυλην την σιδηραν την φερουσαν εις την πολιν, ἡτις αυτοματη ηνοιχθη αυτοις· και εξελθοντες προηλθον[18] ῥυμην μιαν, και ευθεως απεστη ὁ αγγελος απ' αυτου.

[Enter Rhoda]

11 Και ὁ Πετρος, γενομενος εν ἑαυτω, ειπεν, "Νυν οιδα αληθως ὁτι εξαπεστειλεν Κυριος τον αγγελον αυτου και εξειλετο με εκ χειρος Ἡρωδου και πασης της προσδοκιας του λαου των Ιουδαιων". 12 Συνιδων τε[19] ηλθεν επι την οικιαν Μαριας, της[20] μητρος

---

[1] δε 1897[c] || --- 1897
[2] αγαβος || αγαγαβος 1652 (from one line to the next)
[3] μελλειν 35[c],1652[c] || --- 35,386,394,1247,1652 (/)
[4] οστις || οστι 986 (i)
[5] και || 11 2261 (from one page to the next)
[6] ευπορειτο || ηυπορειτο [25%] 201
[7] προς τους || --- 1725[v]
[8] δε || τον 2218 (i) [repeats τον]
[9] 1482 is missing 12:2-10.
[10] δε 1856[c] || 1 και 1856
[11] αι || --- [50%] 2261 || η 2378 (i)
[12] αναγαγειν 1723[c] || αγαγειν 328,394,928,986,1249,1509,1723,1725,1749,1855,1856,2255,2431 (/)
[13] μεταξυ || μεταξι 2218 (i)
[14] εξεπεσον 201[c] || εξεπεσων 201 (apparently)
[15] υποδησαι || υποδυσαι 2723 (changes the verb, upodew → υποδυω) (s)
[16] ουτως || ουτω [2%] 204 (sp)
[17] γινομενον || γενομενον 1725
[18] προηλθον || προσηλθον 1548 (s)
[19] τε || δε [15%] 1856,1876
[20] της || --- 394 (s)

Ιωαννου (του επικαλουμενου Μαρκου), οὗ ησαν ἱκανοι συνηθροισμενοι[1] και προσευχομενοι. 13 Κρουσαντος[2] δε του Πετρου την θυραν του πυλωνος, προσηλθεν παιδισκη ὑπακουσαι, ονοματι Ῥοδη. 14 Και επιγνουσα την φωνην του Πετρου, απο της[3] χαρας ουκ ηνοιξεν[4] τον πυλωνα, εισδραμουσα δε απηγγειλεν[5] ἑσταναι τον Πετρον προ του πυλωνος! 15 Οἱ δε προς αυτην ειπον, "Μαινη!" Ἡ δε διισχυριζετο οὑτως εχειν. Οἱ δε ελεγον, "Ὁ αγγελος αυτου εστιν".[6] 16 Ὁ δε Πετρος επεμενεν κρουων· ανοιξαντες δε ειδον αυτον και εξεστησαν. 17 Κατασεισας δε αυτοις τη χειρι[7] σιγαν, διηγησατο αυτοις πως ὁ Κυριος αυτον εξηγαγεν[8] εκ[9] της φυλακης. Ειπεν δε, "Ἀπαγγειλατε Ιακωβω και τοις αδελφοις ταυτα". Και εξελθων επορευθη εις ἑτερον τοπον.

[Poor guards]

18 Γενομενης δε ἡμερας, ἦν ταραχος ουκ ολιγος εν[10] τοις στρατιωταις, τί αρα ὁ Πετρος εγενετο! 19 Ἡρωδης δε, επιζητησας αυτον και μη εὑρων, ανακρινας τους φυλακας, εκελευσεν απαχθηναι. Και κατελθων[11] απο της Ιουδαιας εις την Καισαρειαν διετριβεν.

[Herod gets his 'comeupance']

20 Ἦν δε ὁ[12] Ἡρωδης θυμομαχων Τυριοις και Σιδωνιοις· ὁμοθυμαδον τε παρησαν προς αυτον, και πεισαντες[13] Βλαστον, τον επι του κοιτωνος του βασιλεως, ητουντο ειρηνην, δια το τρεφεσθαι αυτων την χωραν[14] απο της βασιλικης. 21 Τακτη δε ἡμερα ὁ Ἡρωδης, ενδυσαμενος εσθητα βασιλικην και καθισας επι του βηματος, εδημηγορει προς αυτους. 22 Ὁ δε δημος επεφωνει, "Θεου φωνη[15] και ουκ ανθρωπου!" 23 Παραχρημα δε επαταξεν αυτον αγγελος Κυριου, ανθ' ὧν ουκ εδωκεν δοξαν τω Θεω,[16] και γενομενος σκωληκοβρωτος,[17] εξεψυξεν.

24 Ὁ δε λογος του Θεου[18] ηυξανεν και επληθυνετο.

[The Gentile Church]

12.25 Βαρναβας δε και Σαυλος ὑπεστρεψαν εις Αντιοχειαν,[19]

---

[1] συνηθροισμενοι || συνηθρισμενοι 1100 (i)
[2] κρουσαντος || κρουσαντες 986 (s)
[3] της || --- 1248 (s)
[4] ηνοιξεν || ονοιξε 201 (i)
[5] απηγγειλεν || 1 εξω 2080[c]
[6] ελεγον ο αγγελος αυτου εστιν || ~ 23451 2466 (s)
[7] τη χειρι || την χειρα 801 (s)
[8] αυτον εξηγαγεν || ~ 21 [13%] 2218
[9] εκ || --- 1876 (s)
[10] εν || --- 328 (s)
[11] κατελθων || κακατελθων 1856 (from one line to the next)
[12] ο || --- 1725
[13] πεισαντες || 1 τον 328 (s)
[14] αυτων την χωραν || ~ 231 1548 (s)
[15] θεου φωνη || ~ 21 [78%] 1723[c]
[16] In 35 a whole line was erased between the 'God's, and was re-written correctly, but it is hard to know what was erased.
[17] σκωληκοβρωτος || σκοληκοβρωτος 1617 (s)
[18] 1652 is missing 12:24 – 13:11.
[19] εις αντιοχειαν (5.1%) 141,204,328,394,801,928,986,1140,1247,1249,1482,1723,1725,1749,1761,1855,1856, 1876,1897,2080,2255,2261,2378,2431,2441
απο ιερουσαλημ (10.9%) 18,386,1100,2303,2554 {634,1101,1733} (1652 missing)
απο ιερουσαλημ εις αντιοχειαν (7.3%) 444,1058,1400,1548,2587 {664,1752,1763,2221,2704}
εξ ιερουσαλημ (3.6%) 1865
εξ ιερουσαλημ εις αντιοχειαν (12.2%) 604,1865[c] {432,1767,1768}
εις ιερουσαλημ (60%) 35[c],149,201,757,824,1040,1072,1075,1248,1503,1508,1617,1619,1628,1636,1637,1656, 1723[c],1740,1746,1864,1892,2352,2431[c], 2466,2723 {1618,1737,1748,2653,2691}

πληρωσαντες[1] την διακονιαν, συμπαραλαβοντες και Ιωαννην, τον επικληθεντα Μαρκον.

[Missionary journey I—Barnabas and Saul→Paul]

13.1 Ησαν δε τινες[2] εν Ατιοχεια κατα την ουσαν εκκλησιαν προφηται και διδασκαλοι: ὅ τε Βαρναβας και Συμεων (ὁ καλουμενος Νιγερ) και Λουκιος ὁ Κυρηναιος, Μαναην[3] τε (Ἡρωδου του[4] τετραρχου συντροφος) και Σαυλος. 2 Λειτουργουντων δε αυτων τω Κυριω και νηστευοντων,[5] ειπεν το Πνευμα το Ἁγιον, "Αφορισατε δη μοι τον Βαρναβαν και τον Σαυλον εις το εργον ὃ προσκεκλημαι[6] αυτους!" 3 Τοτε, νηστευσαντες και προσευξαμενοι και επιθεντες τας χειρας αυτοις,[7] απελυσαν.

[1st stop—Cyprus]

4 Οὗτοι μεν,[8] εκπεμφθεντες ὑπο του Πνευματος του Ἁγιου, κατηλθον[9] εις την[10] Σελευκειαν· εκειθεν τε απεπλευσαν εις την Κυπρον. 5 Και γενομενοι εν Σαλαμινι,[11] κατηγγελλον[12] τον λογον του Θεου εν ταις συναγωγαις των Ιουδαιων (ειχον δε και Ιωαννην ὑπηρετην). 6 Διελθοντες δε την νησον αχρι Παφου, εὑρον[13] τινα μαγον,[14] ψευδοπροφητην, Ιουδαιον ᾧ ονομα Βαριησουν,[15] 7 ὃς ἦν συν τω ανθυπατω, Σεργιω Παυλω, ανδρι συνετω. Οὗτος προσκαλεσαμενος Βαρναβαν και Σαυλον, επεζητησεν ακουσαι τον λογον του Θεου. 8 Ανθιστατο δε αυτοις Ελυμας ὁ μαγος (οὑτως γαρ μεθερμηνευεται το ονομα αυτου), ζητων διαστρεψαι τον ανθυπατον απο της πιστεως.

9 Σαυλος δε, ὁ και Παυλος, πλησθεις[16] Πνευματος Ἁγιου και ατενισας εις αυτον 10 ειπεν: "Ω πληρης παντος δολου και πασης ῥαδιουργιας, υἱε διαβολου, εχθρε πασης δικαιοσυνης! Ου παυση διαστρεφων τας ὁδους Κυριου τας ευθειας? 11 Και νυν ιδου, χειρ Κυριου επι σε και εση τυφλος, μη βλεπων τον ἡλιον αχρι καιρου!" Παραχρημα δε επεπεσεν επ' αυτον αχλυς και σκοτος, και περιαγων εζητει χειραγωγους. 12 Τοτε ιδων ὁ ανθυπατος το γεγονος επιστευσεν, εκπληττομενος επι τη διδαχη του Κυριου.

[On to Pisidian Antioch]

13 Αναχθεντες δε απο της Παφου οἱ περι τον[17] Παυλον ηλθον εις Περγην της Παμφυλιας (Ιωαννης δε αποχωρησας απ' αυτων ὑπεστρεψεν εις Ἱεροσολυμα). 14 Αυτοι δε διελθοντες απο της Περγης, παρεγενοντο εις Αντιοχειαν της Πισιδιας· και εισελθοντες[18] εις την συναγωγην τη ἡμερα των σαββατων, εκαθισαν. 15 Μετα δε την αναγνωσιν του

εις ιερουσαλημ εις αντιοχειαν 35 (not a conflation, because it is nonsense; the copyist knew both readings and recorded them both.)

2218 omits the verbal clause, υπεστρεψαν εις αντιοχειαν, leaving the sentence without a finite verb—strange!

Eleven fragments lack the verse.

[1] πληρωσαντες || 1 δε 2441 (s)

[2] τινες || --- [4%] 1865^{c}

[3] μαναην || μαναιν 141 || μαναιμ 1761 (sp)

[4] του || 11 2723 (repeats του at start of the next line)

[5] νηστευοντων || νιστευοντων 757 (sp)

[6] προσκεκλημαι || προκεκλημα 801 (s)

[7] τας χειρας αυτοις || ~ 312 [20%] 328,1075

[8] μεν || 1 ουν [80%] 604,1247,1732,1761,1892^{c},2080^{c}

[9] κατηλθον || κατηλθειν 1248 (s)

[10] την || --- [13%] 1247

[11] σαλαμινι || σαλαμινη [15%] 801

[12] κατηγγελλον 1140^{c},2466^{c} || κατηγγελον [7%] 328,1140,1725,1876,1892,2466

[13] ευρον 35^{c} || 1 ανδρα [7%] 35

[14] μαγον || αγον 1503 (i)

[15] βαριησουν || βαριησους [20%] 386,1723,1865 (sp)

[16] πλησθεις || πλησθης 1897 (s)

[17] τον 35^{c} || --- [5%] 35

[18] εισελθοντες || ελθοντες [2%] 1876

Νομου και των Προφητων, απεστειλαν προς αυτους οἱ αρχισυναγωγοι, λεγοντες, "Ανδρες αδελφοι, ει εστιν λογος εν ὑμιν[1] παρακλησεως προς τον λαον, λεγετε."[2]

[Paul expounds the Gospel]

16 Αναστας δε Παυλος και κατασεισας τη χειρι, ειπεν, "Ανδρες Ισραηλιται και οἱ φοβουμενοι τον Θεον, ακουσατε. 17 Ὁ Θεος του λαου τουτου[3] εξελεξατο τους πατερας ἡμων, και τον λαον ὑψωσεν εν τη παροικια εν γη Αιγυπτω, και μετα βραχιονος[4] ὑψηλου εξηγαγεν αυτους εξ αυτης. 18 Και ὡς τεσσαρακονταετη χρονον ετροποφορησεν αυτους εν τη ερημω. 19 Και καθελων εθνη ἑπτα[5] εν γη Χανααν, κατεκληρονομησεν αυτοις την γην αυτων. 20 Και μετα ταυτα (ὡς ετεσιν τετρακοσιοις και πεντηκοντα), εδωκεν κριτας ἑως Σαμουηλ του προφητου. 21 Κακειθεν ητησαντο βασιλεα, και εδωκεν αυτοις ὁ Θεος[6] τον Σαουλ, υἱον Κις, ανδρα εκ φυλης Βενιαμιν,[7] ετη τεσσαρακοντα. 22 Και μεταστησας αυτον ηγειρεν αυτοις[8] τον Δαυιδ εις βασιλεα, ᾧ και ειπεν μαρτυρησας, Ἑὑρον Δαυιδ τον του Ιεσσαι ανδρα κατα την καρδιαν μου, ὃς ποιησει παντα τα θεληματα μου'. 23 Τουτου ὁ Θεος, απο του σπερματος, κατ' επαγγελιαν, ηγαγεν[9] τω[10] Ισραηλ[11] σωτηριαν,
24 προκηρυξαντος Ιωαννου, προ προσωπου της εισοδου αυτου,[12] βαπτισμα μετανοιας τω[13] Ισραηλ. 25 Ὡς δε επληρου ὁ[14] Ιωαννης τον δρομον, ελεγεν: Τίνα με ὑπονοειτε ειναι? Ουκ ειμι εγω—αλλ' ιδου, ερχεται μετ' εμε,[15] οὗ ουκ ειμι αξιος το ὑποδημα των ποδων λυσαι.'

26 "Ανδρες αδελφοι, υἱοι γενους Ἀβρααμ, και οἱ εν ὑμιν φοβουμενοι τον Θεον: ὑμιν ὁ λογος της σωτηριας ταυτης εξαπεσταλη.[16] 27 Οἱ γαρ κατοικουντες Ἱερουσαλημ και οἱ αρχοντες αυτων, τουτον αγνοησαντες και τας φωνας των προφητων τας κατα παν σαββατον αναγινωσκομενας, κριναντες επληρωσαν. 28 Και μηδεμιαν αιτιαν[17] θανατου εὑροντες, ητησαντο Πιλατον αναιρεθηναι αυτον. 29 Ὡς δε ετελεσαν παντα τα περι αυτου γεγραμμενα,[18] καθελοντες απο του ξυλου, εθηκαν εις μνημειον. 30 Ὁ δε Θεος ηγειρεν αυτον εκ νεκρων· 31 ὃς ωφθη επι ἡμερας πλειους τοις συναναβασιν αυτω απο της Γαλιλαιας εις[19] Ἱερουσαλημ,[20] οἵτινες[21] εισιν μαρτυρες αυτου προς τον λαον.

32 "Και ἡμεις ὑμας ευαγγελιζομεθα: την προς τους πατερας επαγγελιαν γενομενην, 33 ὁτι ταυτην ὁ Θεος εκπεπληρωκεν τοις τεκνοις αυτων,[22] ἡμιν, αναστησας[23] Ιησουν· ὡς και εν τω ψαλμω τω δευτερω γεγραπται: Ὑἱος μου ει συ, εγω σημερον γεγεννηκα σε'.

---

[1] λογος εν υμιν || ~ 231 [10%] 328,386
[2] λεγετε 35c || λεγεται [5%] 35?,2378
[3] τουτου || 1 ισραηλ [4%] 2080
[4] βραχιονος || βραχιωνος 1876 (i)
[5] επτα || --- 801 (s)
[6] ο θεος || --- 444,2431 (/)
[7] βενιαμιν || βενιαμην [13%] 394 (sp)
[8] 2441 is missing 13:22 – 38.
[9] ηγαγεν 35c || ηγειρεν [25%] 35?
[10] τω || τον 2352 (s)
[11] ισραηλ || 1 εις 1548 (s)
[12] προ προσωπου της εισοδου αυτου || --- 2255 (h)
[13] τω 35c || παντι τω λαω [19%] 35
[14] ο || --- [35%] 2261
[15] εμε || εμου 201 (s)
[16] εξαπεσταλη || απεσταλη [70%] 1140
[17] αιτιαν 801c || --- 444,801 || ετιαν 444c
[18] περι αυτου γεγραμμενα || ~ 312 1619 (s)
[19] εις || 1 την 1247 (s) || --- 2255 (s)
[20] τοις συναναβασιν αυτω απο της γαλιλαιας εις ιερουσαλημ || --- 141 (supplied in margin)
[21] οιτινες || 1 μεν 2080c
[22] αυτων || αυτον 1725
[23] αναστησας || 1 τον 1725

34 Ὅτι δε ανεστησεν αυτον εκ νεκρων, μηκετι μελλοντα ὑποστρεφειν εις διαφθοραν, οὑτως ειρηκεν ὁτι Ὰωσω ὑμιν τα ὁσια Δαυιδ τα πιστα’. 35 Διο και εν ἑτερω λεγει, Ὸυ δωσεις τον Ὸσιον σου ιδειν διαφθοραν’. 36 Δαυιδ μεν γαρ, ιδια γενεα ὑπηρετησας τη του Θεου βουλη, εκοιμηθη, και προσετεθη προς τους πατερας αυτου, και ειδεν διαφθοραν· 37 ὃν δε ὁ Θεος ηγειρεν ουκ ειδεν[1] διαφθοραν.[2] 38 Γνωστον ουν εστω ὑμιν, ανδρες[3] αδελφοι, ὁτι δια τουτου ὑμιν[4] αφεσις ἁμαρτιων καταγγελλεται·[5] 39 και απο παντων ὡν ουκ ηδυνηθητε[6] εν[7] νομω Μωυσεος[8] δικαιωθηναι, εν τουτω πας ὁ πιστευων δικαιουται. 40 Βλεπετε ουν μη επελθη εφ’ ὑμας το ειρημενον εν τοις προφηταις: 41 Ἰδετε, οἱ καταφρονηται, και[9] θαυμασατε[10] και αφανισθητε! Ὅτι εργον εγω[11] εργαζομαι εν ταις ἡμεραις ὑμων ᾧ ου μη πιστευσητε,[12] εαν τις εκδιηγηται[13] ὑμιν’.”

[the reaction]

42 Εξιοντων[14] δε εκ της συναγωγης των Ιουδαιων,[15] παρεκαλουν τα εθνη[16] εις το μεταξυ σαββατον λαληθηναι αυτοις τα ῥηματα ταυτα. 43 Λυθεισης δε της συναγωγης, ηκολουθησαν[17] πολλοι των Ιουδαιων και των σεβομενων προσηλυτων τω Παυλω και τω Βαρναβα, οἵτινες προσλαλουντες[18] επειθον επιμενειν[19] αυτους τη χαριτι του Θεου.[20] 44 Τω τε ερχομενω σαββατω σχεδον πασα ἡ πολις συνηχθη ακουσαι τον λογον του Θεου. 45 Ἰδοντες δε οἱ Ιουδαιοι τους οχλους, επλησθησαν ζηλου και αντελεγον τοις ὑπο του Παυλου λεγομενοις, αντιλεγοντες και[21] βλασφημουντες.

46 Παρρησιασαμενοι δε ὁ Παυλος και ὁ[22] Βαρναβας ειπον: “‘Ὑμιν ἦν αναγκαιον πρωτον[23] λαληθηναι τον λογον του Θεου. Επειδη δε απωθεισθε αυτον, και ουκ αξιους κρινετε ἑαυτους[24] της αιωνιου ζωης, ιδου στρεφομεθα εις τα εθνη. 47 Οὑτως γαρ εντεταλται ἡμιν ὁ Κυριος: Ὑτεθεικα[25] σε εις φως εθνων, του ειναι σε εις σωτηριαν ἑως εσχατου της γης’.” 48 Ακουοντα δε τα εθνη εχαιρον, και εδοξαζον τον λογον του Κυριου· και επιστευσαν ὁσοι ησαν τεταγμενοι εις ζωην αιωνιον.

---

[1] ειδεν || οιδε 2466 (s)
[2] verse 37 entire 1656c,1865c || --- 824,1656,1865,2218 (obvious homoioteleuton)
[3] ανδρες || --- 328 (s)
[4] υμιν || ημιν 801 (s)
[5] καταγγελλεται || καταγγελεται 986 (i)
[6] ηδυνηθητε || εδυνηθητε 444 (s)
[7] εν || 1 τω [80%] 1637
[8] μωυσεος || μωσεως [40%] 1761 || μωυσεως [40%] 757,2255 (sp)
[9] και 35c || 1 επιβλεψατε 1 [3%] 35,2466
[10] θαυμασατε || θαυμασετε [1%] 1865,2466,2723
[11] εργον εγω || ~ 21 2466 (s)
[12] πιστευσητε || πιστευσηται 141 (s)
[13] εκδιηγηται || εκδιηγειται 2218,2466 || εκδιηγητε 604,986
[14] εξιοντων || εξιοντες 1732 (s) || εκσιοντων 2218 (i)
[15] εκ της συναγωγης των ιουδαιων 35c || αυτων (16.2%) 35
[16] τα εθνη 35c || --- [15%] 35
[17] ηκολουθησαν || ηκολουθεισαν 1617 (s)
[18] προσλαλουντες 35c || 1 αυτοις [5%] 35,1247 || 1 αυτων 1249m
[19] επιμενειν || προσμενειν [16%] 149,201
[20] χαριτι του θεου || ~ 231 1140 (s)
[21] αντιλεγοντες και 35c || --- (19.6%) 35
[22] ο || --- 1723 (s)
[23] πρωτον || --- 1761 (s)
[24] εαυτους || αυτους 2378 (s)
[25] τεθεικα || τεθηκα [20%] 2218

49 Διεφερετο δε ὁ λογος του Κυριου δι' ὁλης της χωρας. 50 Οἱ δε Ιουδαιοι παρωτρυναν[1] τας σεβομενας γυναικας και τας ευσχημονας και τους πρωτους της πολεως, και επηγειραν διωγμον επι τον Παυλον και τον[2] Βαρναβαν, και εξεβαλον αυτους απο των ὁριων αυτων. 51 Οἱ δε εκτιναξαμενοι τον κονιορτον[3] των ποδων αυτων ep' αυτους, ηλθον εις Ικονιον.[4] 52 Οἱ δε μαθηται επληρουντο χαρας και Πνευματος Ἁγιου.

[Iconium]

14.1 Εγενετο δε εν Ικονιω κατα το αυτο εισελθειν αυτους εις την συναγωγην των Ιουδαιων, και λαλησαι οὑτως[5] ὡστε πιστευσαι Ιουδαιων τε και Ἑλληνων πολυ πληθος.[6] 2 Οἱ δε απειθουντες Ιουδαιοι επηγειραν[7] και εκακωσαν τας ψυχας των εθνων κατα των αδελφων. 3 Ἱκανον μεν[8] ουν χρονον διετριψαν, παρρησιαζομενοι επι τω Κυριω, τω μαρτυρουντι τω λογω της χαριτος αυτου,[9] διδοντι σημεια και τερατα γινεσθαι δια των χειρων αυτων. 4 Εσχισθη δε το πληθος της πολεως· και οἱ μεν ησαν συν τοις Ιουδαιοις, οἱ δε συν τοις αποστολοις. 5 Ὡς δε εγενετο ὁρμη των εθνων τε και[10] Ιουδαιων, συν τοις αρχουσιν αυτων, ὑβρισαι και λιθοβολησαι[11] αυτους, 6 συνιδοντες κατεφυγον εις τας πολεις της[12] Λυκαονιας—Λυστραν και Δερβην, και την περιχωρον—7 κακει ησαν ευαγγελιζομενοι.

[Lystra]

8 Και τις ανηρ εν Λυστροις αδυνατος τοις ποσιν εκαθητο (χωλος εκ κοιλιας μητρος αυτου ὑπαρχων,[13] ὃς ουδεποτε περιπεπατηκει). 9 Οὑτος ηκουεν[14] του Παυλου λαλουντος· ὃς ατενισας αυτω και ιδων ὁτι πιστιν εχει του σωθηναι, 10 ειπεν μεγαλη τη φωνη,[15] "Αναστηθι επι τους ποδας σου ορθος!" Και ἡλλατο[16] και περιεπατει! 11 Οἱ δε οχλοι, ιδοντες ὃ εποιησεν ὁ Παυλος, επηραν την φωνην αυτων Λυκαονιστι λεγοντες, "Οἱ θεοι ὁμοιωθεντες ανθρωποις κατεβησαν προς ἡμας!" 12 Εκαλουν τε τον μεν Βαρναβαν, Δια, τον δε Παυλον, Ἑρμην, επειδη αυτος ἦν ὁ[17] ἡγουμενος του λογου. 13 Ὁ δε ἱερευς του Διος, του οντος προ της πολεως αυτων, ταυρους και στεμματα επι τους πυλωνας[18] ενεγκας, συν τοις οχλοις ηθελεν θυειν.

14 Ακουσαντες δε οἱ αποστολοι, Βαρναβας και Παυλος, διαρρηξαντες τα ἱματια αυτων, εισεπηδησαν εις τον οχλον, κραζοντες 15 και λεγοντες:[19] "Ανδρες! Τί ταυτα

---

[1] παρωτρυναν || παροτρυναν 141 (i)
[2] τον 35^{c} || --- [22%] 35
[3] κονιορτον || 11 1247 (i)
[4] ικονιον || κονιον 1617 (i)
[5] ουτως || τον λογον 1876 (s)
[6] πολυ πληθος || ~ 21 2218 (s)
[7] επηγειραν || 1 διωγμον 1247 (s)
[8] μεν || μη 604 || --- 1508 (s)
[9] αυτου 35^{c} || 1 και [10%] 35
[10] και 35^{c} || 1 των D,35,1876
[11] λιθοβολησαι || λιθοβολισαι [14%] 2218
[12] της || --- 328 (s)
[13] υπαρχων 35^{c} || --- [5%] 35
[14] ηκουεν || ηκουσε [25%] 1075
[15] φωνη 35^{c} || 1 σοι λεγω εν το ονοματι ιησου χριστου [5%] 35,141^{m},1761^{c}(2080^{c})2466 (there is variation within the addition)
[16] ηλλατο 35^{c} || ηλατο [15%] 35,328,386,394,444,801,928,986,1058,1247,1249,1482,1508,1548,1746,1749,1855^{c}, 1856,2255,2431,2441,2587
[17] ο || --- 1876 (s)
[18] τους πυλωνας || του πυλωνος 386 (s)
[19] και λεγοντες || --- 801 (h)

ποιειτε? Και ἡμεις ὁμοιοπαθεις ὑμιν[1] εσμεν ανθρωποι, ευαγγελιζομενοι ὑμας[2] απο τουτων των ματαιων επιστρεφειν επι[3] τον Θεον τον ζωντα,[4] ὃς εποιησεν τον ουρανον και την γην και την θαλασσαν και παντα τα εν αυτοις· 16 ὃς εν ταις παρωχημεναις γενεαις εασεν παντα τα εθνη πορευεσθαι[5] ταις ὁδοις αυτων. 17 Καιτοιγε ουκ αμαρτυρον ἑαυτον αφηκεν, αγαθοποιων, ουρανοθεν ὑμιν[6] ὑετους διδους[7] και καιρους καρποφορους, εμπιπλων τροφης και ευφροσυνης τας καρδιας ἡμων." 18 Και ταυτα λεγοντες, μολις κατεπαυσαν τους οχλους του μη θυειν αυτοις.[8]

[Paul stoned]

19 Επηλθον[9] δε[10] απο Αντιοχειας και Ικονιου Ιουδαιοι,[11] και πεισαντες τους οχλους και λιθασαντες τον Παυλον, εσυραν εξω της πολεως,[12] νομισαντες αυτον τεθναναι.[13] 20 Κυκλωσαντων δε των μαθητων αυτον, αναστας εισηλθεν εις την πολιν. Και τη επαυριον εξηλθεν[14] συν τω Βαρναβα εις Δερβην.

[The return to Antioch]

21 Ευαγγελισαμενοι[15] τε την πολιν εκεινην και μαθητευσαντες[16] ἱκανους, ὑπεστρεψαν εις Λυστραν και Ικονιον και Αντιοχειαν, 22 επιστηριζοντες τας ψυχας των μαθητων, παρακαλουντες εμμενειν τη πιστει, και ὁτι "Δια πολλων θλιψεων δει ἡμας εισελθειν εις την βασιλειαν του Θεου".[17] 23 Χειροτονησαντες δε αυτοις πρεσβυτερους κατ' εκκλησιαν,[18] προσευξαμενοι μετα νηστειων, παρεθεντο αυτους τω Κυριω εις ὃν πεπιστευκεισαν. 24 Και διελθοντες την Πισιδιαν, ηλθον εις Παμφυλιαν.[19] 25 Και λαλησαντες εν Περγη τον λογον, κατεβησαν εις Ατταλειαν.[20] 26 Κακειθεν απεπλευσαν εις Αντιοχειαν, ὁθεν ησαν παραδεδομενοι τη χαριτι του Θεου εις το εργον ὃ επληρωσαν. 27 Παραγενομενοι δε και συναγαγοντες την εκκλησιαν, ανηγγειλαν ὁσα εποιησεν ὁ Θεος μετ' αυτων, και ὁτι ηνοιξεν τοις εθνεσιν θυραν πιστεως. 28 Διετριβον δε εκει χρονον ουκ ολιγον συν τοις μαθηταις.[21]

[The Jerusalem Coucil]

[The conflict]

15.1 Και τινες κατελθοντες απο της Ιουδαιας εδιδασκον τους αδελφους ὁτι "Εαν μη περιτεμνησθε τω εθει Μωυσεος,[22] ου δυνασθε σωθηναι". 2 Γενομενης ουν στασεως και

---

[1] υμιν || --- 2466 (s)
[2] υμας || ημας 757 (s)
[3] επι || προς 1400
[4] θεον τον ζοντα || ~ 31 328 (s)
[5] πορευεσθαι || πορευεσθε 986 (s)
[6] υμιν || ημιν [15%] 328,386,394,604,801,928,986,1140,1247,1249,1482,1508,1652,1723,1732,1746,1749,1855, 1856,1892,1897,2080,2218,2255,2441
[7] υετους διδους || ~ 21 2218 (s)
[8] αυτοις 35^{c} || 1 διατριβοντων δε αυτων και διδασκοντων [10%] 35,1892^{m},2080^{m}
[9] επηλθον || συνηλθον 328 (s)
[10] δε 35^{c} || --- [5%] 35
[11] ιουδαιοι 35^{c} || 1 και διαλεγομενων αυτων παρρησια [5%] 35 || 1 + a long addition 1247
[12] εσυραν εξω της πολεως || --- 1248 (s)
[13] τεθναναι || ταθναναι 1072 (i)
[14] 2378 is missing 14:20 – 15:7.
[15] ευαγγελισαμενοι || ευαγγελιζομενοι 1725
[16] μαθητευσαντες || μαθιτευσαντες 1876 (i)
[17] του θεου || των ουρανων 1761 (s)
[18] εκκλησιαν || εκλησιαν 1876 (i)
[19] παμφυλιαν || παμφιλιαν 604 (sp)
[20] ατταλειαν || αταλειαν [15%] 1856,2218 (sp)
[21] μαθηταις || αδελφοις 1761 (s)
[22] μωυσεος 201^{c} || μωυσεως [63%] 201,1548,1637,2255

ζητησεως[1] ουκ ολιγης τω Παυλω και τω Βαρναβα προς αυτους, εταξαν αναβαινειν Παυλον και Βαρναβαν, και τινας αλλους εξ αυτων, προς τους αποστολους και πρεσβυτερους εις[2] Ἰερουσαλημ περι του ζητηματος τουτου. 3 Οἱ μεν ουν, προπεμφθεντες ὑπο της εκκλησιας, διηρχοντο την Φοινικην[3] και Σαμαρειαν, εκδιηγουμενοι την επιστροφην των εθνων· και εποιουν χαραν μεγαλην πασιν τοις αδελφοις. 4 Παραγενομενοι δε εις Ἰερουσαλημ, απεδεχθησαν ὑπο της εκκλησιας και των αποστολων και των πρεσβυτερων, ανηγγειλαν τε ὁσα ὁ Θεος εποιησεν[4] μετ' αυτων.[5] 5 Εξανεστησαν[6] δε τινες των[7] απο της αἱρεσεως των Φαρισαιων πεπιστευκοτες, λεγοντες ὁτι "Δει περιτεμνειν αυτους, παραγγελλειν τε τηρειν[8] τον νομον Μωσεως."[9]

[The Council]

6 Συνηχθησαν δε οἱ αποστολοι και οἱ πρεσβυτεροι ιδειν περι του λογου τουτου. 7 Πολλης δε συζητησεως[10] γενομενης, αναστας Πετρος ειπεν προς αυτους: "Ἀνδρες αδελφοι, ὑμεις επιστασθε ὁτι αφ' ἡμερων αρχαιων ὁ Θεος εν ὑμιν[11] εξελεξατο, δια του στοματος μου ακουσαι τα εθνη τον λογον του ευαγγελιου και πιστευσαι. 8 Και ὁ καρδιογνωστης Θεος εμαρτυρησεν[12] αυτοις δους αυτοις[13] το Πνευμα το Ἁγιον, καθως και ἡμιν· 9 και ουδεν διεκρινεν μεταξυ ἡμων τε και αυτων, τη πιστει καθαρισας τας καρδιας αυτων. 10 Νυν ουν, τἱ πειραζετε[14] τον Θεον, επιθειναι[15] ζυγον επι τον τραχηλον των μαθητων ὃν ουτε οἱ πατερες ἡμων[16] ουτε ἡμεις[17] ισχυσαμεν βαστασαι? 11 Αλλα, δια της χαριτος του Κυριου Ιησου πιστευομεν σωθηναι, καθ' ὃν τροπον κακεινοι."

12 Εσιγησεν δε παν το πληθος και ηκουον Βαρναβα και Παυλου εξηγουμενων[18] ὁσα εποιησεν ὁ Θεος σημεια και τερατα εν τοις εθνεσιν δι' αυτων. 13 Μετα δε το σιγησαι αυτους, απεκριθη Ιακωβος λεγων: 14 "Ἀνδρες αδελφοι, ακουσατε μου. Συμεων εξηγησατο καθως πρωτον ὁ Θεος επεσκεψατο λαβειν εξ εθνων λαον επι[19] τω[20] ονοματι αυτου. 15 Και τουτω συμφωνουσιν οἱ λογοι των προφητων, καθως γεγραπται: 16 Ἰμετα ταυτα αναστρεψω, και ανοικοδομησω την σκηνην Δαυιδ, την πεπτωκυιαν· και τα κατεσκαμμενα αυτης ανοικοδομησω και ανορθωσω αυτην· 17 ὁπως αν εκζητησωσιν οἱ καταλοιποι[21] των ανθρωπων τον Κυριον, και παντα τα εθνη—εφ' οὓς επικεκληται το ονομα μου επ' αυτους—λεγει Κυριος ὁ ποιων ταυτα παντα.' 18 Γνωστα απ' αιωνος εστιν τω Θεω παντα τα εργα αυτου. 19 Διο εγω κρινω μη παρενοχλειν τοις απο των εθνων επιστρεφουσιν επι τον Θεον, 20 αλλ' επιστειλαι αυτοις του απεχεσθαι απο των αλισγηματων των ειδωλων

---

[1] ζητησεως || συζητησεως [5%] 1856
[2] εις || --- 986 (s)
[3] φοινικην || φοινηκην 824 (sp)
[4] ο θεος εποιησεν || ~ 312 328 (s)
[5] αυτων || 1 και οτι ηνοιξεν τοις εθνεσιν θυραν πιστεως [35%] 824[m],1892[m] (both by a different hand)
[6] εξανεστησαν || --- 1247 (s)
[7] των || --- 2218 (s)
[8] τηρειν || --- 141 (s)
[9] μωσεως || μωυσεος [5%] 386 (sp)
[10] συζητησεως || ζητησεως [5%] 444
[11] υμιν || ημιν [60%] 328
[12] εμαρτυρησεν || εμαρτυρισεν 2378 (sp)
[13] αυτοις || --- [3%] 1876
[14] πειραζετε || πειραζεται 1876 (s)
[15] επιθειναι || επιθηναι 1725
[16] ημων || υμων 1876 (s)
[17] ημεις || υμεις 2261 (s)
[18] εξηγουμενων 2466[m] || --- 2466
[19] επι 35[c] || --- [13%] 35
[20] τω || το 2255 (s)
[21] καταλοιποι || καταληποι 1617 (s)

και της πορνειας και του πνικτου και του αἱματος. 21 Μωσης γαρ εκ γενεων αρχαιων κατα πολιν τους κηρυσσοντας αυτον εχει, εν ταις συναγωγαις κατα παν σαββατον αναγινωσκομενος.''

[The edict]

22 Τοτε εδοξεν τοις αποστολοις και τοις[1] πρεσβυτεροις, συν ὁλη τη εκκλησια, εκλεξαμενους ανδρας εξ αυτων πεμψαι εις Αντιοχειαν συν Παυλω και Βαρναβα: Ιουδαν (τον επικαλουμενον Βαρσαβαν)[2] και Σιλαν, ανδρας ἡγουμενους εν τοις αδελφοις· 23 γραψαντες[3] δια χειρος αυτων ταδε: ''Οἱ αποστολοι και οἱ πρεσβυτεροι και οἱ αδελφοι,[4] τοις κατα[5] Αντιοχειαν και Συριαν και Κιλικιαν αδελφοις τοις εξ εθνων: Χαιρειν. 24 Επειδη ηκουσαμεν ὁτι τινες εξ ἡμων εξελθοντες[6] εταραξαν[7] ὑμας λογοις, ανασκευαζοντες τας ψυχας ὑμων, λεγοντες περιτεμνεσθαι και[8] τηρειν τον νομον—οἷς ου διεστειλαμεθα— 25 εδοξεν ἡμιν, γενομενοις ὁμοθυμαδον, εκλεξαμενοις[9] ανδρας πεμψαι προς ὑμας συν τοις αγαπητοις ἡμων[10] Βαρναβα και Παυλω, 26 ανθρωποις παραδεδωκοσιν[11] τας ψυχας αυτων ὑπερ του ονοματος του Κυριου ἡμων Ιησου Χριστου. 27 Απεσταλκαμεν ουν Ιουδαν και Σιλαν, και αυτους δια λογου απαγγελλοντας τα αυτα. 28 Εδοξεν γαρ τω ̔Αγιω Πνευματι, και ἡμιν, μηδεν πλεον επιτιθεσθαι ὑμιν βαρος πλην των επαναγκες τουτων:[12] 29 απεχεσθαι ειδωλοθυτων[13] και αἱματος και πνικτου και πορνειας· εξ ὡν διατηρουντες ἑαυτους ευ πραξετε. Ερρωσθε.''

[Good results]

30 Οἱ μεν ουν απολυθεντες ηλθον εις Αντιοχειαν, και συναγαγοντες το πληθος επεδωκαν την επιστολην. 31 Αναγνοντες δε εχαρησαν επι τη παρακλησει. 32 Ιουδας τε και Σιλας, και αυτοι προφηται οντες, δια λογου πολλου παρεκαλεσαν τους αδελφους και επεστηριξαν.[14] 33 Ποιησαντες δε χρονον, απελυθησαν[15] μετ' ειρηνης απο των αδελφων προς τους αποστολους.[16] 35 Παυλος δε και Βαρναβας διετριβον εν Αντιοχεια, διδασκοντες και ευαγγελιζομενοι, μετα και ἑτερων πολλων, τον λογον του Κυριου.

[Missionary journey II—Paul and Silas]

[Paul and Barnabas separate]

36 Μετα δε τινας ἡμερας[17] ειπεν Παυλος προς[18] Βαρναβαν, ''Επιστρεψαντες δη επισκεψωμεθα τους αδελφους ἡμων κατα πασαν πολιν εν αἷς κατηγγειλαμεν τον λογον του Κυριου, πως εχουσιν''. 37 Βαρναβας δε εβουλευσατο συμπαραλαβειν και Ιωαννην (τον καλουμενον Μαρκον). 38 Παυλος δε ηξιου, τον αποσταντα απ' αυτων απο Παμφυλιας[19] και

---

[1] τοις 35[c] || --- 35,1725
[2] βαρσαβαν || βαρσαββαν [50%] 757 (sp)
[3] γραψαντες || γραψαντας 394,1482,1548,1856 (/)
[4] πρεσβυτεροι και οι αδελφοι || ~ 4231 2255 (s)
[5] κατα || 1 την [80%] 1636,1740
[6] εξελθοντες || ελθοντες (3.3%) 1249
[7] εταραξαν || εξεταραξαν 204 (s)
[8] και || --- 2378 (s)
[9] εκλεξαμενοις || εκλεξαμενοι 1876 || εκλεξαμενους [75%] 1247
[10] ημων || υμων 1249 (s)
[11] παραδεδωκοσιν || παραδεδοκοσι 1075,2261 (/)
[12] των επαναγκες τουτων || ~ 312 [30%] 386
[13] ειδωλοθυτων || ειδωλοθυτου 1503[c],1652,1740
[14] επεστηριξαν || επεστηρηξαν 1249 (i)
[15] ποιησαντες δε χρονον απελυθησαν || --- 2255 (h)
[16] αποστολους || 1 + verse 34 (20.3%) 141[m],1892[m]
[17] ημερας 2378[c] || --- 2378
[18] προς || 1 τον 2218 (s)
[19] παμφυλιας || παμφιλιας 604 (sp)

μη συνελθοντα αυτοις εις το[1] εργον μη συμπαραλαβειν τουτον. 39 Εγενετο ουν παροξυσμος ὡστε χωρισθηναι αυτους απ' αλληλων. Τον τε Βαρναβαν παραλαβοντα τον[2] Μαρκον εκπλευσαι εις Κυπρον· 40 Παυλος δε επιλεξαμενος Σιλαν εξηλθεν, παραδοθεις τη χαριτι[3] του Θεου ὑπο των αδελφων. 41 Διηρχετο δε την Συριαν και Κιλικιαν, επιστηριζων τας εκκλησιας.

[Paul finds Timothy]

16.1 Κατηντησεν δε εις Δερβην και Λυστραν. Και ιδου, μαθητης τις ἦν εκει ονοματι Τιμοθεος, υἱος γυναικος τινος[4] Ιουδαιας πιστης, πατρος δε Ἑλληνος· 2 ὃς εμαρτυρειτο ὑπο των εν Λυστροις και Ικονιω αδελφων. 3 Τουτον ηθελησεν ὁ Παυλος συν αυτω εξελθειν, και λαβων περιετεμεν αυτον δια τους Ιουδαιους τους οντας εν τοις τοποις εκεινοις, ηδεσαν[5] γαρ ἁπαντες τον πατερα αυτου ὁτι Ἑλλην ὑπηρχεν. 4 Ὡς δε διεπορευοντο τας πολεις παρεδιδουν αυτοις φυλασσειν τα δογματα—τα κεκριμενα[6] ὑπο των αποστολων και των πρεσβυτερων των εν Ἱερουσαλημ. 5 Αἱ μεν ουν εκκλησιαι εστερεουντο τη πιστει, και επερισσευον τω αριθμω καθ' ἡμεραν.[7]

[The 'Macedonian call']

6 Διελθοντες δε την Φρυγιαν και την Γαλατικην χωραν, κωλυθεντες ὑπο του Ἁγιου Πνευματος λαλησαι τον λογον εν τη Ασια, 7 ελθοντες[8] κατα την Μυσιαν επειραζον κατα την Βιθυνιαν πορευεσθαι, και ουκ ειασεν αυτους το Πνευμα.
8 Παρελθοντες δε την Μυσιαν κατεβησαν εις Τρωαδα.

9 Και ὁραμα δια της νυκτος ωφθη τω Παυλω: ανηρ τις ἦν[9] Μακεδων ἑστως,[10] παρακαλων αυτον και λεγων, "Διαβας εις την[11] Μακεδονιαν, βοηθησον[12] ἡμιν". 10 Ὡς δε το ὁραμα ειδεν, ευθεως εζητησαμεν εξελθειν εις την[13] Μακεδονιαν, συμβιβαζοντες ὁτι προσκεκληται[14] ἡμας ὁ Κυριος ευαγγελισασθαι αυτους.

[Philippi]

11 Αναχθεντες ουν απο της Τρωαδος, ευθυδρομησαμεν εις την[15] Σαμοθρακην, τη τε επιουση εις Νεαπολιν· 12 εκειθεν τε εις Φιλιππους, ἡτις εστιν πρωτη της μεριδος της[16] Μακεδονιας πολις, κολωνεια.[17] Ημεν δε εν αυτη τη πολει διατριβοντες ἡμερας τινας.[18]
13 Τη τε ἡμερα των σαββατων εξηλθομεν εξω της πολεως παρα[19] ποταμον, οὗ ενομιζετο προσευχη ειναι, και καθισαντες ελαλουμεν[20] ταις συνελθουσαις[21] γυναιξιν. 14 Και τις γυνη

---

[1] το || τον 2378 (s)
[2] τον || --- 1865,2723 (/)
[3] τη χαριτι 1865[c] || --- 1865
[4] τινος 35[c] || --- [10%] 35
[5] ηδεσαν || ηδεισαν [65%] 1723
[6] κεκριμενα || κεκρυμενα 394,2441 (sp)
[7] **f**[35] has καθημέραν
[8] ελθοντες || εξελθοντες 801 (s)
[9] ην || --- [5%] 1732
[10] εστως || 1 και [10%] 1892
[11] την 35[c],2554[c] || --- [80%] 35,1856,2554
[12] βοηθησον || 1 και 141 (s)
[13] την 35[c] || --- [25%] 35,824
[14] προσκεκληται || προσκεκληκεν 801 (s)
[15] την 35[c] || --- [80%] 35,1725
[16] μεριδος της 35[c] || --- [10%] 35 (homoioteleuton)
[17] κολωνεια || κολωνια [12%] 757 (sp)
[18] 1248 omits πολις κολωνεια ημεν δε εν αυτη τη πολει διατριβοντες ἡμερας τινας
[19] παρα || 1 τον 1072 (s)
[20] ελαλουμεν || ελαλουν 2466 (s)
[21] συνελθουσαις || συνελθουσαι 801 (i)

ονοματι Λυδια, πορφυροπωλις πολεως[1] θυατειρων,[2] σεβομενη τον θεον, ηκουεν, ἧς ὁ Κυριος[3] διηνοιξεν[4] την καρδιαν προσεχειν τοις λαλουμενοις ὑπο του Παυλου. 15 Ὡς δε εβαπτισθη αυτη, και ὁ οικος αυτης, παρεκαλεσεν λεγουσα, "Ει κεκρικατε με πιστην τω Κυριω ειναι, εισελθοντες εις τον οικον μου, μεινατε". Και παρεβιασατο ἡμας.

[prison]

16 Εγενετο δε, πορευομενων ἡμων εις προσευχην, παιδισκην[5] τινα εχουσαν πνευμα[6] Πυθωνος απαντησαι ἡμιν, ἡτις εργασιαν πολλην παρειχεν τοις κυριοις αυτης[7] μαντευομενη. 17 Αὑτη κατακολουθησασα τω Παυλω και τω Σιλα[8] εκραζεν λεγουσα, "Οὑτοι οἱ ανθρωποι δουλοι του Θεου του Ὑψιστου εισιν, οἱτινες καταγγελλουσιν[9] ἡμιν ὁδον σωτηριας!" 18 Τουτο δε εποιει επι πολλας ἡμερας! Διαπονηθεις δε ὁ Παυλος,[10] και επιστρεψας τω πνευματι ειπεν, "Παραγγελλω σοι εν τω[11] ονοματι Ιησου Χριστου εξελθειν απ' αυτης!" Και εξηλθεν αυτη τη ὡρα.

19 Ιδοντες δε οἱ κυριοι αυτης ὁτι εξηλθεν ἡ ελπις της εργασιας αυτων, επιλαβομενοι τον Παυλον και τον Σιλαν εἱλκυσαν εις την αγοραν επι τους αρχοντας, 20 και προσαγαγοντες αυτους τοις στρατηγοις ειπον, "Οὑτοι οἱ ανθρωποι εκταρασσουσιν ἡμων την πολιν, Ιουδαιοι ὑπαρχοντες, 21 και καταγγελλουσιν[12] εθη ἃ ουκ εξεστιν ἡμιν παραδεχεσθαι ουδε ποιειν, Ῥωμαιοις ουσιν". 22 Και συνεπεστη ὁ[13] οχλος κατ' αυτων, και οἱ στρατηγοι περιρρηξαντες αυτων τα ἱματια εκελευον ῥαβδιζειν. 23 Πολλας τε επιθεντες αυτοις πληγας,[14] εβαλον[15] εις φυλακην, παραγγειλαντες τω δεσμοφυλακι ασφαλως τηρειν αυτους· 24 ὅς,[16] παραγγελιαν τοιαυτην ειληφως, εβαλεν αυτους εις την εσωτεραν[17] φυλακην και τους ποδας αυτων ησφαλισατο εις το[18] ξυλον.

[the jailor converts]

25 Κατα δε το μεσονυκτιον Παυλος και Σιλας προσευχομενοι ὑμνουν τον Θεον· επηκροωντο δε αυτων[19] οἱ δεσμιοι.[20] 26 Αφνω δε σεισμος εγενετο μεγας, ὡστε σαλευθηναι τα θεμελια του δεσμωτηριου· ανεωχθησαν δε παραχρημα αἱ θυραι πασαι και παντων τα δεσμα ανεθη.[21] 27 Εξυπνος δε γενομενος ὁ δεσμοφυλαξ και ιδων ανεωγμενας τας θυρας της φυλακης, σπασαμενος μαχαιραν, εμελλεν ἑαυτον αναιρειν, νομιζων εκπεφευγεναι τους δεσμιους.

---

[1] πολεως || πωλεως 1617 (s)
[2] θυατειρων || θειατειρων 2352 (s)
[3] κυριος || θεος 1248 (s)
[4] διηνοιξεν 35[c] || ηνοιξεν [2%] 35
[5] παιδισκην || καιδισκην 1248 (i)
[6] πνευμα || --- 1248 (s)
[7] αυτης || αυτοις 1075 (i)
[8] τω σιλα 35[c] || ημιν [80%] 35
[9] καταγγελλουσιν || καταγγελουσιν [30%] 1723
[10] παυλος || παυλλος 2218 (i)
[11] τω 35[c] || --- [7%] 35
[12] καταγγελλουσιν || καταγγελουσιν [25%] 2352
[13] ο || --- [5%] 201
[14] αυτοις πληγας || ~ 21 1892 (s)
[15] εβαλον || εβαλλον 1617,1876 (/)
[16] ος || και 1248 (s)
[17] εσωτεραν || εσοτεραν [12%] 2352
[18] εις το || --- 2255 (h)
[19] αυτων || --- 1725
[20] δεσμιοι || δεσμοιοι 1617 (i)
[21] ανεθη || ανειθη [15%] 328,394,928,986,1058,1249,1482,1746,1749,1723,1855,1856,2255,2352,2431,2441,2587 (spelling—both are aorist passive)

28 Εφωνησεν δε φωνη μεγαλη ὁ Παυλος λεγων, "Μηδεν πραξης σεαυτω κακον, ἁπαντες γαρ εσμεν ενθαδε!" 29 Αιτησας δε φωτα εισεπηδησεν και εντρομος γενομενος προσεπεσεν τω Παυλω και τω Σιλα. 30 Και προαγαγων αυτους εξω εφη, "Κυριοι,[1] τί με δει[2] ποιειν ἱνα σωθω?" 31 Οἱ δε ειπον, "Πιστευσον επι τον Κυριον Ιησουν Χριστον και σωθηση, συ και[3] ὁ οικος σου". 32 Και ελαλησαν αυτω τον λογον του Κυριου και πασιν τοις εν τη οικια αυτου. 33 Και παραλαβων αυτους εν εκεινη τη ὡρα της νυκτος ελουσεν απο των πληγων, και εβαπτισθη αυτος και οἱ αυτου παντες παραχρημα. 34 Αναγαγων τε αυτους εις τον οικον αυτου παρεθηκεν τραπεζαν, και ηγαλλιατο, πανοικι πεπιστευκως τω Θεω.

[magistrates rebuked]

35 Ἡμερας δε γενομενης απεστειλαν οι στρατηγοι[4] τους ῥαβδουχους λεγοντες, "Απολυσον τους ανθρωπους[5] εκεινους". 36 Απηγγειλεν[6] δε ὁ δεσμοφυλαξ τους λογους[7] τουτους[8] προς[9] τον Παυλον, ὁτι "Απεσταλκασιν οἱ στρατηγοι ἱνα απολυθητε· νυν ουν εξελθοντες πορευεσθε[10] εν ειρηνη". 37 Ὁ δε Παυλος εφη προς αυτους: "Δηραντες ἡμας δημοσια, ακατακριτους, ανθρωπους Ῥωμαιους ὑπαρχοντας, εβαλον εις φυλακην, και νυν λαθρα ἡμας εκβαλλουσιν? Ου γαρ! Αλλα ελθοντες αυτοι εξαγαγετωσαν!"[11] 38 Ανηγγειλαν δε τοις στρατηγοις οἱ ῥαβδουχοι τα ῥηματα ταυτα· εφοβηθησαν δε[12] ακουσαντες ὁτι Ῥωμαιοι εισιν· 39 και ελθοντες παρεκαλεσαν αυτους, και εξαγαγοντες ηρωτων[13] εξελθειν της πολεως. 40 Εξελθοντες δε απο[14] της φυλακης εισηλθον προς[15] την Λυδιαν, και ιδοντες τους αδελφους παρεκαλεσαν αυτους και εξηλθον.

[Thessalonica]

17.1 Διοδευσαντες δε την Αμφιπολιν και Απολλωνιαν, ηλθον εις Θεσσαλονικην, ὁπου ἡν ἡ[16] συναγωγη των Ιουδαιων. 2 Κατα δε το ειωθος τω Παυλω, εισηλθεν προς αυτους και επι σαββατα τρια διελεγετο αυτοις απο των Γραφων, 3 διανοιγων και παρατιθεμενος ὁτι τον Χριστον εδει παθειν και αναστηναι εκ νεκρων, και ὁτι "οὑτος εστιν Ιησους ὁν[17] Χριστος ὃν εγω καταγγελλω ὑμιν". 4 Και τινες εξ αυτων επεισθησαν[18,19] και προσεκληρωθησαν τω Παυλω και τω Σιλα, των τε σεβομενων Ἑλληνων πληθος πολυ, γυναικων τε των πρωτων ουκ ολιγαι.

---

[1] κυριοι || 1 μου 2431 (s)
[2] δει || δε 1072 (i)
[3] και 35[c] || 1 πας [5%] 35,604
[4] στρατηγοι || 1 προς 2378 (s)
[5] ανθρωπους || ανδρας 1856 (s)
[6] απηγγειλεν || απειγγειλεν 1740 (s)
[7] τους λογους || --- 2378 (s)
[8] τουτους 35[c] || --- [1%] 35
[9] 2441 is missing 16:36 – 20:20.
[10] πορευεσθε || πορευεσθαι 2378 (s)
[11] εξαγαγετωσαν 35[c] || 1 ημας [2%] 35
[12] εφοβηθησαν δε || ~ και 1 [75%] 1247
[13] αυτους και εξαγαγοντες ηρωτων || --- 2378 (s)
[14] απο || εκ [80%] 1247
[15] προς || εις [5%] 1723
[16] η 35[c] || --- [4%] 35
[17] ο 1864[c] || --- [2%] 141,328,824,1761,1856,1864
[18] εξ αυτων επεισθησαν || ~ 312 328,394,928,1247,1249,1508,1723,1749,1856,2431 (/)
[19] επεισθησαν || επισθησαν 1732 (i)

5 Προσλαβομενοι δε οἱ Ιουδαιοι οἱ απειθουντες[1],[2] των αγοραιων ανδρας τινας πονηρους, και οχλοποιησαντες εθορυβουν την πολιν·[3] επισταντες τε[4] τη οικια Ιασονος,[5] εζητουν αυτους αγαγειν εις τον δημον. 6 Μη εὑροντες δε αυτους, εσυρον τον Ιασονα[6] και τινας αδελφους επι τους πολιταρχας, βοωντες ὁτι "Οἱ[7] την οικουμενην αναστατωσαντες, οὑτοι και ενθαδε παρεισιν, 7 οὓς ὑποδεδεκται Ιασων· και οὑτοι παντες απεναντι των δογματων Καισαρος πρασσουσιν,[8] βασιλεα ἑτερον λεγοντες ειναι[9]—Ιησουν." 8 Εταραξαν δε τον οχλον και τους πολιταρχας ακουοντας ταυτα. 9 Και λαβοντες το ἱκανον παρα του Ιασονος[10] και των λοιπων, απελυσαν αυτους.

[Berea]

10 Οἱ δε αδελφοι ευθεως, δια της νυκτος, εξεπεμψαν τον τε Παυλον και τον Σιλαν εις[11] Βερροιαν·[12] οἱτινες παραγενομενοι εις την συναγωγην απηεσαν των Ιουδαιων.
11 Οὑτοι δε ησαν ευγενεστεροι[13] των εν Θεσσαλονικη,[14] οἱτινες εδεξαντο τον λογον μετα πασης προθυμιας,[15] καθ' ἡμεραν ανακρινοντες τας Γραφας ει εχοι[16] ταυτα οὑτως.
12 Πολλοι μεν ουν εξ αυτων επιστευσαν, και των Ἑλληνιδων, γυναικων των ευσχημονων και ανδρων, ουκ ολιγοι.[17] 13 Ὡς δε εγνωσαν οἱ απο της Θεσσαλονικης Ιουδαιοι ὁτι και εν τη Βερροια[18] κατηγγελη[19] ὑπο του Παυλου ὁ λογος του Θεου, ηλθον κακει, σαλευοντες[20] τους οχλους. 14 Ευθεως δε, τοτε τον[21] Παυλον εξαπεστειλαν οἱ αδελφοι, πορευεσθαι ὡς επι την θαλασσαν, ὑπεμενον δε ὅ τε Σιλας και ὁ Τιμοθεος εκει. 15 Οἱ δε καθιστωντες[22] τον Παυλον ηγαγον αυτον[23] ἑως Αθηνων· και λαβοντες εντολην προς τον Σιλαν και Τιμοθεον ἱνα ὡς ταχιστα ελθωσιν προς αυτον, εξηεσαν.

[Athens]

16 Εν δε ταις Αθηναις εκδεχομενου αυτους του Παυλου,[24] παρωξυνετο το πνευμα αυτου εν αυτω θεωρουντι[25] κατειδωλον ουσαν την πολιν. 17 Διελεγετο μεν ουν εν τη συναγωγη τοις Ιουδαιοις και τοις σεβομενοις, και εν τη αγορα κατα πασαν ἡμεραν προς

---

[1] προσλαβομενοι δε οι ιουδαιοι οι απειθουτνες 35[c] || ~ ζηλωσαντες 234 και 1 [5%] 35,2080
[2] απειθουτνες || απειθουν 604 [something was erased and ουν written in smaller letters, at the end of the line]
[3] πολιν 35[c] || 1 κατ αυτων [2%] 35
[4] επισταντες τε 35[c] || ~ και 1 [5%] 35
[5] ιασονος || ιασωνος [30%] 201,604,1140[c],1723[c],2080 (sp)
[6] ιασονα || ιασωνα [30%] 201,604,1140[c],1723[c],2080 (sp)
[7] οι || --- 18 (s)
[8] πρασσουσιν || πραττουσι [7%] 386 (sp)
[9] ειναι || --- 1732 (s)
[10] ιασονος || ιασωνος [30%] 201,1140[c],1723[c],2080 (sp)
[11] εις || 1 την 1892 (s)
[12] βερροιαν || βεροιαν [70%] 2255 || βερρυαν 1897 (s)
[13] ησαν ευγενεστεροι || ~ 21 2352 (s)
[14] θεσσαλονικη || θεσαλονικη [22%] 1876
[15] προθυμιας || 1 το [70%] 1247
[16] εχοι || εχει 328,394,1723,1876 (/)
[17] 2378 is missing 17:13 – 25.
[18] βερροια || βεροια [75%] 1040,2255 (sp)
[19] κατηγγελη || κατηγγελλη [15%] 201 || κατηγγελθη 1249 || κατηγελη 2080
[20] σαλευοντες || 1 και ταρασσοντες (22.2%) 2080
[21] τον || 1 τε 1856 (s)
[22] καθιστωντες || καθιστοντες 2218 (i)
[23] αυτον 35[c] || --- [12%] 35
[24] αυτους του παυλου || ~ 231 1856 (s)
[25] θεωρουντι || θεωρουν 986 (s)

τους παρατυγχανοντας. 18 Τινες δε και των Επικουρειων και των[1] Στωικων[2] φιλοσοφων συνεβαλον[3] αυτω. Και τινες ελεγον, "Τί αν θελοι[4] ὁ σπερμολογος οὑτος λεγειν?" Οἱ δε, "Ξενων δαιμονιων δοκει καταγγελευς ειναι"—ὁτι τον Ιησουν και την αναστασιν[5] ευηγγελιζετο.[6] 19 Επιλαβομενοι τε αυτου επι τον Αρειον Παγον ηγαγον λεγοντες: "Δυναμεθα γνωναι τίς ἡ καινη αὐτη ἡ ὑπο σου λαλουμενη διδαχη? 20 Ξενιζοντα γαρ τινα εισφερεις[7] εις τας ακοας ἡμων· βουλομεθα ουν γνωναι τί αν[8] θελοι ταυτα ειναι." 21 (Αθηναιοι δε παντες και[9] οἱ επιδημουντες ξενοι εις ουδεν ἑτερον ευκαιρουν ἠ λεγειν τι και ακουειν καινοτερον.)

[The Areopagus]

22 Σταθεις δε ὁ Παυλος εν μεσω[10] του Αρειου Παγου εφη: "Ἀνδρες Αθηναιοι, κατα παντα ὡς δεισιδαιμονεστερους[11] ὑμας θεωρω· 23 διερχομενος γαρ και αναθεωρων τα σεβασματα ὑμων, εὑρον και βωμον εν ᾧ επεγεγραπτο:[12] 'Ἀγνωστω Θεω'. Ὃν ουν αγνοουντες ευσεβειτε, τουτον εγω καταγγελλω ὑμιν: 24 Ὁ Θεος ὁ ποιησας τον κοσμον και παντα τα εν αυτω, οὑτος, ουρανου και γης Κυριος ὑπαρχων, ουκ εν χειροποιητοις ναοις κατοικει, 25 ουδε ὑπο χειρων ανθρωπων[13] θεραπευεται, προσδεομενος τινος, αυτος διδους πασιν ζωην και πνοην[14] κατα παντα. 26 Εποιησεν τε εξ ἑνος αἱματος[15] παν εθνος ανθρωπων κατοικειν επι παν το προσωπον της γης, ὁρισας προστεταγμενους[16] καιρους και τας ὁροθεσιας της κατοικιας αυτων, 27 ζητειν τον Κυριον, ει αρα γε ψηλαφησειαν αυτον και εὑροιεν, και[17] γε ου μακραν απο ἑνος ἑκαστου ἡμων ὑπαρχοντα·[18] 28 εν αυτω γαρ ζωμεν και κινουμεθα και εσμεν. Ὡς και τινες των καθ' ὑμας[19] ποιητων ειρηκασιν, 'Του γαρ και γενος εσμεν'. 29 Γενος ουν ὑπαρχοντες του Θεου, ουκ οφειλομεν νομιζειν χρυσω ἠ αργυρω ἠ λιθω—χαραγματι τεχνης και ενθυμησεως ανθρωπου—το θειον ειναι ὁμοιον. 30 Τους μεν ουν χρονους της αγνοιας ὑπεριδων ὁ Θεος, τα νυν παραγγελλει[20] τοις ανθρωποις πασιν πανταχου μετανοειν, 31 διοτι εστησεν ἡμεραν εν ᾗ μελλει[21] κρινειν την οικουμενην εν δικαιοσυνη εν ανδρι ᾧ ὡρισεν· πιστιν παρασχων πασιν, αναστησας αυτον εκ νεκρων."

---

[1] των 35[c] || --- [7%] 35
[2] στωικων || στοικων [40%] 986,1732 (sp)
[3] συνεβαλον || συνεβαλλον [50%] 386,604
[4] θελοι || θελη 2218 (s) [also in verse 20]
[5] αναστασιν 35[c] || 1 αυτοις [5%] 2466[c] || 1 αυτου [2%] 35
[6] ευηγγελιζετο 35[c] || 1 αυτοις [20%] 35
[7] εισφερεις || φερεις 1628 (s)
[8] τι αν 35[c] || τινα [6%] 35
[9] παντες και || ~ 21 1740,2352
[10] μεσω || μεσο 1725 (i)
[11] δεισιδαιμονεστερους || δεισιμονεστερους 1058 (s)
[12] επεγεγραπτο || επεγεγραπτω 201 (s)
[13] ανθρωπων 35[c] || ανθρωπινων [5%] 35
[14] διδους πασιν ζωην και πνοην || ~ 21543 394,928,1247,1249,1508,1723,1749,1856,2431 (/) || ~ 12543 1482,2218 || ~ 25143 328
[15] αιματος 35[c] || --- (4.4%) 35
[16] προστεταγμενους 35[c] || τεταγμενους [2%] 35 || προστετεταγμενοις 201 (repeated syllable from one line to the next)
[17] και 35[c] || καιτοι [5%] 35
[18] υπαρχοντα || υπαρχοντος 1876 (s)
[19] υμας || ημας [5%] 386
[20] παραγγελλει || παραγγελει 1856 (i)
[21] μελλει || μελλειν 1865 (s)

32 Ακουσαντες δε αναστασιν νεκρων,[1] οἱ μεν εχλευαζον, οἱ δε ειπον, "Ακουσομεθα σου παλιν περι τουτου". 33 Και οὑτως ὁ Παυλος εξηλθεν εκ μεσου αυτων. 34 Τινες δε ανδρες κολληθεντες αυτω, επιστευσαν, εν οἷς και Διονυσιος ὁ Αρεοπαγιτης, και γυνη ονοματι Δαμαρις, και ἑτεροι συν αυτοις.

[Consolidation of the Gentile Church]

[Corinth]

18.1 Μετα δε ταυτα χωρισθεις ὁ Παυλος εκ των Αθηνων ηλθεν εις Κορινθον. 2 Και εὑρων τινα Ιουδαιον ονοματι Ακυλαν, Ποντικον τω γενει, προσφατως εληλυθοτα απο της Ιταλιας,[2] και Πρισκιλλαν[3] γυναικα αυτου (δια το διατεταχεναι[4] Κλαυδιον χωριζεσθαι παντας τους Ιουδαιους εκ της Ῥωμης), προσηλθεν αυτοις· 3 και δια το ὁμοτεχνον ειναι, εμενεν[5] παρ' αυτοις και ειργαζετο[6] (ησαν γαρ σκηνοποιοι την τεχνην).

4 Διελεγετο δε[7] εν τη συναγωγη κατα παν σαββατον, επειθεν τε Ιουδαιους και Ἑλληνας. 5 Ὡς δε κατηλθον απο της[8] Μακεδονιας ὅ τε Σιλας και ὁ Τιμοθεος, συνειχετο τω Πνευματι ὁ Παυλος,[9,10] διαμαρτυρομενος τοις Ιουδαιοις:[11] τον Χριστον Ιησουν.
6 Αντιτασσομενων δε αυτων και βλασφημουντων, εκτιναξαμενος τα ἱματια[12] ειπεν προς αυτους: "Το αἱμα ὑμων επι τας κεφαλας ὑμων! Καθαρος εγω. Απο του νυν εις τα εθνη πορευσομαι."

[The house of Justus becomes the base]

7 Και μεταβας[13] εκειθεν ηλθεν εις[14] οικιαν τινος ονοματι Ιουστου, σεβομενου τον Θεον, οὗ ἡ οικια ἡν συνομορουσα[15] τη συναγωγη. 8 Κρισπος δε, ὁ αρχισυναγωγος, επιστευσεν τω Κυριω συν ὁλω τω οικω αυτου· και πολλοι των Κορινθιων, ακουοντες,[16] επιστευον και εβαπτιζοντο. 9 Ειπεν δε ὁ Κυριος δι' ὁραματος εν νυκτι τω Παυλω: "Μη φοβου· αλλα λαλει και μη σιωπησης, 10 διοτι εγω ειμι μετα σου και ουδεις επιθησεται σοι του κακωσαι σε,[17] διοτι λαος εστιν μοι πολυς εν τη πολει ταυτη."[18] 11 Εκαθισεν τε ενιαυτον και μηνας ἑξ, διδασκων εν αυτοις τον λογον του Θεου.[19]

[Gallio]

12 Γαλλιωνος δε ανθυπατευοντος της Αχαιας, κατεπεστησαν ὁμοθυμαδον οἱ Ιουδαιοι τω Παυλω και ηγαγον αυτον επι το βημα, 13 λεγοντες ὁτι "Παρα τον νομον αναπειθει οὑτος[20] τους ανθρωπους σεβεσθαι τον Θεον". 14 Μελλοντος δε του Παυλου ανοιγειν το

---

[1] ακουσντες δε αναστασιν νεκρων || --- 1248 (s)
[2] ιταλιας || σικελιας 2218 (s) !!
[3] πρισκιλλαν || πρισκυλλαν 1617 (i)
[4] διατεταχεναι || τεταχεναι [20%] 801,1248,2218
[5] εμενεν || εμεινε [55%] 801,1548,2587
[6] ειργαζετο || ηργαζετο (7.8%) 824
[7] δε || γαρ 1652 (s)
[8] της || --- [3%] 201
[9] τω πνευματι ο παυλος || ~ 3412 1761 (s)
[10] παυλος || 1 και 1247 (s)
[11] ιουδαιοις 35c || 1 ειναι [6%] 35,2080
[12] ιματια 35c || 1 αυτου 35,141
[13] μεταβας || καταβας 1897 (s)
[14] εις || 1 την 1897 (s)
[15] συνομορουσα || συνομορρουσα 1617 (i)
[16] ακουοντες || ακουσαντες [50%] 824,1897
[17] κακωσαι σε || κακωσεσαι 1248 (s)
[18] 1761 reverses the clauses in verse 10 as follows: διοτι λαος εστιν μοι πολυς εν τη πολει ταυτη εγω γαρ ειμι μετα σου και ουδεις επιθησεται σοι του κακωσαι σε
[19] 1248 omits διδασκων εν αυτοις τον λογον του Θεου
[20] αναπειθει ουτος || ~ 21 [65%] 1247

στομα, ειπεν ὁ Γαλλιων προς τους Ιουδαιους,[1] "Ει μεν ουν[2] ἦν αδικημα τι ἢ ῥαδιουργημα πονηρον,[3] ω Ιουδαιοι, κατα λογον αν ηνεσχομην ὑμων·[4] 15 ει δε ζητημα[5] εστιν περι λογου και ονοματων και νομου του καθ' ὑμας, οψεσθε αυτοι· κριτης γαρ[6] εγω[7] τουτων[8,9] ου βουλομαι ειναι." 16 Και απηλασεν αυτους απο του βηματος. 17 Επιλαβομενοι δε παντες οἱ Ἑλληνες[10] Σωσθενην, τον αρχισυναγωγον, ετυπτον εμπροσθεν του βηματος. Και ουδεν τουτων τω Γαλλιωνι εμελλεν.[11,12]

[To Ephesus and Antioch]

18 Ὁ δε Παυλος ετι προσμεινας ἡμερας ἱκανας, τοις αδελφοις αποταξαμενος,[13] εξεπλει εις την Συριαν, και συν αυτω Πρισκιλλα και Ακυλας (κειραμενος[14] την κεφαλην εν Κεγχρεαις,[15] ειχεν γαρ ευχην). 19 Κατηντησεν δε εις Εφεσον κακεινους κατελιπεν αυτου (αυτος δε εισελθων εις την συναγωγην διελεχθη[16] τοις Ιουδαιοις). 20 Ερωτωντων δε αυτων[17] επι πλειονα χρονον μειναι παρ' αυτοις, ουκ επενευσεν· 21 αλλ' απεταξατο αυτοις ειπων, "Δει με παντως την ἑορτην την ερχομενην[18] ποιησαι εις Ἱεροσολυμα·[19] παλιν δε ανακαμψω[20] προς ὑμας, του Θεου θελοντος". Και ανηχθη απο της Εφεσου.

22 Και κατελθων εις Καισαρειαν, αναβας και ασπασαμενος την εκκλησιαν, κατεβη εις Αντιοχειαν. 23 Και ποιησας χρονον τινα εξηλθεν, διερχομενος καθεξης την Γαλατικην χωραν και Φρυγιαν, επιστηριζων παντας τους μαθητας.

[Apollos]

24 Ιουδαιος δε τις Απολλως ονοματι, Αλεξανδρευς τω γενει, ανηρ λογιος, κατηντησεν εις Εφεσον, δυνατος ων εν ταις Γραφαις. 25 Οὑτος ἦν κατηχημενος την ὁδον του Κυριου, και ζεων τω Πνευματι ελαλει και εδιδασκεν ακριβως τα περι του[21] Ιησου, επισταμενος μονον το βαπτισμα Ιωαννου. 26 Οὑτος τε ηρξατο παρρησιαζεσθαι εν τη συναγωγη. Ακουσαντες δε αυτου[22] Ακυλας[23] και Πρισκιλλα,[24] προσελαβοντο αυτον και ακριβεστερον αυτω[25] εξεθεντο την του Θεου ὁδον.

---

[1] προς τους ιουδαιους 35[c] || --- 35
[2] ουν || --- [15%] 801
[3] πονηρον || --- 328 (s)
[4] υμων || υμιν 2218 (s)
[5] ζητημα || ζητιμα 757 (sp)
[6] γαρ || --- [3%] 1723
[7] εγω || --- 1897 (s)
[8] εγω τουτων 1617[c] || ~ 21 1617
[9] τουτων || των τοιαυτων 1892 (s)
[10] ελληνες || εληνες 1856 (i)
[11] εμελλεν 1652[c] || εμελεν [14%] 18,141[c],149,201,386,394,444,604,757,928,1040,1058,1072,1075[c],1100,1247, 1248,1249[c],1482,1503,1548,1619,1628,1636,1652,1656[c],1723,1740,1761,1855,1864, 2218,2255,2352,2554[c],2587
[12] τω γαλλιωνι εμελλεν 35[c],1864[c] || ~ 312 [2%] 35,1864
[13] αποταξαμενος 35[c] || 1 αυτοις [2%] 35
[14] κειραμενος || κειραμενοι 1732 (s)
[15] κεγχρεαις || κεχρεαις 328 (i)
[16] διελεχθη || διελεγχθη [2%] 204,394,1725,1892 || διηλεχθη 1617
[17] αυτων || αυτου 204,1897 || αυτον [15%] 444,1140,1725,1876,2261
[18] εορτην την ερχομενην || ~ 31 1732 (s)
[19] In 35 the copyist probably omitted δει με παντως την εορτην την ερχομενην ποιησαι εις ιεροσολυμα with [3%], then erased a line and copied the full text correctly in a cramped hand.
[20] ανακαμψω || ανακαμψαι 444 (s)
[21] του || --- 1761 (s)
[22] αυτου || --- 1723 (s)
[23] ακυλας 141[c] || ακυλλας 141
[24] πρισκιλλα || πρισκυλλα 1100 (i)
[25] αυτω || --- 328,2431 (/)

27 Βουλομενου δε αυτου διελθειν εις την Αχαιαν, προτρεψαμενοι οἱ αδελφοι εγραψαν τοις μαθηταις αποδεξασθαι αυτον· ὃς παραγενομενος συνεβαλετο[1] πολυ τοις πεπιστευκοσιν δια της[2] χαριτος· 28 ευτονως γαρ τοις Ιουδαιοις διακατηλεγχετο δημοσια, επιδεικνυς δια των Γραφων ειναι τον Χριστον Ιησουν.

[Back to Ephesus]

19.1 Εγενετο δε[3] εν τω τον Απολλω ειναι εν Κορινθω, Παυλον, διελθοντα τα ανωτερικα μερη, ελθειν εις Εφεσον.

[Disciples of John]

Και εὑρων τινας μαθητας 2 ειπεν προς αυτους, "Ει Πνευμα Ἁγιον ελαβετε πιστευσαντες?" Οἱ δε ειπον προς αυτον, "Αλλ' ουδε ει Πνευμα Ἁγιον εστιν ηκουσαμεν!" 3 Ειπεν τε, "Εις τί ουν εβαπτισθητε?" Οἱ δε ειπον, "Εις[4] το Ιωαννου βαπτισμα". 4 Ειπεν δε[5] Παυλος, "Ιωαννης μεν εβαπτισεν βαπτισμα μετανοιας, τω λαω λεγων εις τον ερχομενον μετ' αυτον ἱνα πιστευσωσιν, τουτ' εστιν, εις τον Χριστον, Ιησουν".[6]
5 Ακουσαντες δε εβαπτισθησαν εις το ονομα του Κυριου Ιησου. 6 Και[7] επιθεντος αυτοις του Παυλου τας χειρας ηλθεν το Πνευμα το Ἁγιον επ' αυτους, ελαλουν τε γλωσσαις και προεφητευον. 7 Ησαν δε οἱ παντες ανδρες ὡσει δεκαδυο.

[The school of Tyrannus becomes the base]

8 Εισελθων δε εις[8] την συναγωγην επαρρησιαζετο, επι μηνας τρεις, διαλεγομενος και πειθων τα περι της βασιλειας[9] του Θεου. 9 Ὡς δε τινες εσκληρυνοντο και ηπειθουν, κακολογουντες την Ὁδον ενωπιον[10] του πληθους, αποστας απ' αυτων αφωρισεν[11] τους μαθητας, καθ' ἡμεραν διαλεγομενος εν τη σχολη Τυραννου[12] τινος. 10 Τουτο δε εγενετο επι ετη δυο, ὡστε παντας τους κατοικουντας την Ασιαν ακουσαι τον λογον του Κυριου Ιησου, Ιουδαιους τε και Ἑλληνας.

11 Δυναμεις δε[13] ου τας τυχουσας εποιει ὁ Θεος δια των χειρων Παυλου, 12 ὡστε και επι τους ασθενουντας επιφερεσθαι απο του χρωτος αυτου σουδαρια ἠ[14] σιμικινθια, και απαλλασσεσθαι[15] απ' αυτων τας νοσους τα τε πνευματα τα[16] πονηρα εξερχεσθαι απ' αυτων.[17]

[Some fake exorcists]

13 Επεχειρησαν[18] δε τινες απο[19] των περιερχομενων Ιουδαιων εξορκιστων ονομαζειν επι τους εχοντας[20] τα πνευματα τα πονηρα το ονομα του Κυριου Ιησου, λεγοντες,

---

[1] συνεβαλετο || συνεβαλλετο 1617 (s)
[2] της || τοις 328 (i)
[3] δε 1140[c] || --- 1140
[4] εις 1732[c] || ει 1732
[5] δε || τε [45%] 1247
[6] τουτ εστιν εις τον χριστον ιησουν || --- 444 (s)
[7] και || 11 1865 (repeats from one line to the next)
[8] 1248 omits οἱ παντες ανδρες ὡσει δεκαδυο εισελθων δε εις
[9] βασιλειας || βασιλιας 757 (sp)
[10] ενωπιον || 1 παντος 1247 (s)
[11] αφωρισεν || αφορισε 201 (i)
[12] τυραννου || τυρανου 757 (sp)
[13] δε || --- 1247 (s)
[14] η 35[c] || και [2%] 35
[15] απαλλασσεσθαι 201[c] || απαλλασεσθαι [15%] 201,1247,1548 (sp)
[16] τα || --- 141 (s)
[17] εξερχεσθαι απ αυτων 35[c] || εκπορευεσθαι [7%] 35 || 386 omits τα τε πνευματα τα πονηρα εξερχεσθαι απ αυτων
[18] επεχειρησαν || επεχειρισαν [3%] 2261
[19] απο 35[c] || και [5%] 35
[20] 1865 is missing 19:13-26.

‘“Ορκιζομεν[1] ὑμας τον Ιησουν ὃν ὁ[2] Παυλος κηρυσσει”. 14 Ησαν δε τινες υἱοι Σκευα Ιουδαιου αρχιερεως ἑπτα[3] οἱ τουτο ποιουντες. 15 Αποκριθεν δε το πνευμα το πονηρον ειπεν,[4] ‘“Τον Ιησουν γινωσκω και τον Παυλον επισταμαι, ὑμεις δε τίνες εστε?” 16 Και εφαλλομενος επ’ αυτους ὁ ανθρωπος εν ᾧ ἦν το πνευμα το πονηρον και[5] κατακυριευσαν[6] αυτων, ισχυσεν κατ’ αυτων, ὡστε γυμνους και τετραυματισμενους εκφυγειν εκ του οικου εκεινου. 17 Τουτο δε εγενετο πασιν γνωστον,[7] Ιουδαιοις τε και Ἑλλησιν, τοις κατοικουσιν την Εφεσον· και επεπεσεν φοβος επι παντας αυτους, και εμεγαλυνετο το ονομα του[8] Κυριου Ιησου. 18 Πολλοι τε των πεπιστευκοτων[9] ηρχοντο, εξομολογουμενοι και αναγγελλοντες τας πραξεις αυτων. 19 Ἱκανοι δε των τα[10] περιεργα πραξαντων συνενεγκαντες τας βιβλους κατεκαιον ενωπιον παντων (και συνεψηφισαντο τας τιμας αυτων και εὑρον αργυριου μυριαδας πεντε). 20 Οὑτως κατα κρατος ὁ λογος του Κυριου ηυξανεν και ισχυεν.

21 Ὡς δε επληρωθη ταυτα, εθετο ὁ Παυλος εν τω πνευματι, διελθων την Μακεδονιαν και[11] Αχαιαν, πορευεσθαι εις Ἱερουσαλημ, ειπων ὁτι “Μετα το γενεσθαι με εκει, δει με και Ῥωμην ιδειν”. 22 Αποστειλας δε εις την[12] Μακεδονιαν δυο των διακονουντων αυτω, Τιμοθεον και Εραστον, αυτος επεσχεν χρονον εις την Ασιαν.

[Demetrius]

23 Εγενετο δε κατα τον καιρον εκεινον ταραχος ουκ ολιγος περι της Ὁδου.[13] 24 Δημητριος γαρ τις[14] ονοματι, αργυροκοπος, ποιων ναους αργυρους Αρτεμιδος, παρειχετο τοις τεχνιταις εργασιαν ουκ ολιγην·[15] 25 οὓς συναθροισας, και[16] τους περι τα τοιαυτα εργατας, ειπεν: “Ανδρες, επιστασθε ὁτι εκ ταυτης της εργασιας ἡ ευπορια ἡμων[17] εστιν. 26 Και θεωρειτε και ακουετε ὁτι ου μονον[18] Εφεσου αλλα[19] σχεδον πασης της Ασιας ὁ Παυλος οὑτος πεισας μετεστησεν ἱκανον οχλον, λεγων ὁτι ουκ εισιν θεοι οἱ δια[20] χειρων γινομενοι. 27 Ου μονον δε τουτο κινδυνευει[21] ἡμιν[22] το μερος εις απελεγμον ελθειν, αλλα και το της μεγαλης θεας Αρτεμιδος ἱερον εις ουδεν λογισθηναι, μελλειν δε και καθαιρεισθαι την μεγαλειοτητα αυτης,[23] ἣν ὁλη ἡ Ασια και ἡ[24] οικουμενη σεβεται.”

---

[1] ορκιζομεν || εξορκιζομεν [5%] 801
[2] ο 35[c] || --- [70%] 35
[3] υιοι σκευα ιουδαιου αρχιερεως επτα 35[c] || ~ 23451 (8.5%) 35
[4] ειπεν 35[c] || 1 αυτοις [7%] 35
[5] και 35[c] || --- [5%] 35
[6] κατακυριευσαν || κατακυριευσας [18%] 386
[7] πασιν γνωστον || ~ 21 [75%] 1247,2466
[8] του || --- 1072 (s)
[9] πεπιστευκοτων || πεπιστευκοντων 2466 (s)
[10] τα || --- 1628 (s)
[11] και || 1 την 1761 (s)
[12] την || --- 1508[c],1617 (s)
[13] περι της οδου 1058[c] || --- 1058
[14] γαρ τις || --- 1637,2431 (/)
[15] ολιγην || ολιγειν 1247 (s)
[16] και || --- 2218 (s)
[17] ημων 35[c] || ημιν [7%] 35,2466
[18] μονον 35[c] || 1 της [2%] 35
[19] αλλα 35[c] || 1 και [5%] 35
[20] δια || 1 των 1628 (s)
[21] κινδυνευει || κινδυνευειν 444 (s)
[22] ημιν || ημων 801 (s)
[23] την μεγαλειοτητα αυτης || ~ 312 1040 (s)
[24] 1761 repeats η from one line to the next.

28 Ακουσαντες δε και γενομενοι πληρεις θυμου εκραζον λεγοντες, "Μεγαλη ἡ Αρτεμις Εφεσιων!" 29 Και επλησθη ἡ πολις ὁλη[1] της συγχυσεως, ὡρμησαν τε ὁμοθυμαδον εις το θεατρον (συναρπασαντες Γαιον και Αρισταρχον, Μακεδονας,[2] συνεκδημους Παυλου).[3] 30 Του δε Παυλου βουλομενου εισελθειν εις τον δημον, ουκ ειων αυτον οἱ μαθηται. 31 Τινες δε και των Ασιαρχων, οντες αυτω φιλοι, πεμψαντες προς αυτον παρεκαλουν μη δουναι ἑαυτον[4] εις το θεατρον. 32 Αλλοι μεν ουν αλλο τι εκραζον, ἠν γαρ ἡ εκκλησια συγκεχυμενη, και οἱ πλειους ουκ ηδεισαν[5] τίνος ἑνεκεν[6] συνεληλυθεισαν.[7] 33 Εκ δε του οχλου προεβιβασαν[8] Αλεξανδρον, προβαλλοντων[9] αυτον των Ιουδαιων. Ὁ δε Αλεξανδρος, κατασεισας την χειρα, ηθελεν απολογεισθαι τω δημω. 34 Επιγνοντες[10] δε ὁτι Ιουδαιος εστιν, φωνη εγενετο μια εκ παντων ὡς επι ὡρας δυο κραζοντων, "Μεγαλη ἡ[11] Αρτεμις Εφεσιων!"

35 Καταστειλας δε ὁ γραμματευς τον οχλον φησιν: "Ανδρες Εφεσιοι, τίς γαρ εστιν ανθρωπος ὃς ου γινωσκει την Εφεσιων πολιν νεωκορον ουσαν της μεγαλης θεας Αρτεμιδος και του Διοπετους? 36 Αναντιρρητων ουν οντων[12] τουτων,[13] δεον εστιν[14] ὑμας[15] κατεσταλμενους ὑπαρχειν και μηδεν προπετες πρασσειν. 37 Ηγαγετε γαρ τους ανδρας τουτους, ουτε ἱεροσυλους ουτε βλασφημουντας την θεον ὑμων. 38 Ει[16] μεν ουν Δημητριος και οἱ συν αυτω τεχνιται εχουσιν προς τινα λογον, αγοραιοι αγονται, και ανθυπατοι εισιν· εγκαλειτωσαν αλληλοις.[17] 39 Ει δε τι περι ἑτερων επιζητειτε,[18] εν τη εννομω εκκλησια επιλυθησεται. 40 Και γαρ κινδυνευομεν εγκαλεισθαι στασεως, περι της σημερον, μηδενος αιτιου ὑπαρχοντος περι οὗ ου[19] δυνησομεθα αποδουναι[20] λογον της συστροφης ταυτης." 41 Και ταυτα ειπων απελυσεν την εκκλησιαν.

[Paul makes his own plans]

[Greece]

20.1 Μετα δε το παυσασθαι τον θορυβον, προσκαλεσαμενος[21] ὁ Παυλος τους μαθητας και ασπασαμενος,[22] εξηλθεν πορευθηναι εις την[23] Μακεδονιαν. 2 Διελθων δε τα μερη εκεινα και παρακαλεσας αυτους λογω πολλω, ηλθεν εις την Ἑλλαδα. 3 Ποιησας τε μηνας τρεις,

---

[1] ολη || ο 1058 (s)
[2] μακεδονας || μακεδονιας 444,1617 || --- 1892 (s)
[3] παυλου 35[c] || 1 ελκυσαν αυτους 35
[4] εαυτον || αυτον 801 (s)
[5] ηδεισαν || ειδησαν 1548 (s)
[6] ενεκεν 328[c] || χαριν 328
[7] συνεληλυθεισαν || συνεληλυθησαν 1072 (s)
[8] προεβιβασαν || προεβηβασαν 2218 (i)
[9] προβαλλοντων 35[c] || προβαλοντων [35%] 35,141,386,604
[10] επιγνοντες 35[c],1249[c] || επιγνοντων [5%] 35,328,394,604,928,986,1247,1249,1482,1723,1749,1855,1856,2080, 2255
[11] η || --- 2218 (s)
[12] οντων || --- 801 (s)
[13] οντων τουτων || ~ 21 328,394,928,1249,1723,1856 (/)
[14] εστιν || --- 1761 (s)
[15] υμας || ημας 801 (s)
[16] ει || ο 1249 (s)
[17] αλληλοις || αλληλους 1876 (s)
[18] επιζητειτε 35[c] || επιζητητε 1249 || ζητειτε [2%] 35
[19] ου || --- [10%] 328,1072,1548 (h)
[20] αποδουναι || δουναι [40%] 1637,2431
[21] προσκαλεσαμενος 35[c] || μεταπεμψαμενος [3%] 35
[22] τους μαθητας και ασπασαμενος || --- 2378 (h)
[23] την || --- [20%] 328

γενομενης επιβουλης αυτω[1] ὑπο των Ιουδαιων, μελλοντι αναγεσθαι εις την Συριαν, εγενετο γνωμη[2] του ὑποστρεφειν δια Μακεδονιας. 4 Συνειπετο δε αυτω αχρι της Ασιας Σωπατρος[3] Βερροιαιος, Θεσσαλονικεων[4] δε Αρισταρχος και Σεκουνδος, και Γαιος Δερβαιος, και Τιμοθεος, Ασιανοι δε Τυχικος και[5] Τροφιμος· 5 ούτοι προελθοντες εμενον ἡμας εν Τρωαδι. 6 Ἡμεις δε εξεπλευσαμεν μετα[6] τας ἡμερας των αζυμων απο Φιλιππων, και ηλθομεν προς αυτους εις την Τρωαδα αχρις ἡμερων πεντε, οὗ διετριψαμεν ἡμερας ἑπτα.

[Troas]

7 Εν δε τη μια των σαββατων, συνηγμενων των μαθητων[7] κλασαι αρτον, ὁ Παυλος διελεγετο αυτοις, μελλων εξιεναι τη επαυριον παρετεινεν[8] τε τον λογον μεχρι μεσονυκτιου. 8 Ησαν δε λαμπαδες ἱκαναι εν τω ὑπερωω οὗ ημεν συνηγμενοι. 9 Καθημενος[9] δε τις νεανιας ονοματι Ευτυχος επι της θυριδος, καταφερομενος ὑπνω βαθει,[10] διαλεγομενου του Παυλου επι πλειον· κατενεχθεις απο[11] του ὑπνου επεσεν απο του τριστεγου κατω και ηρθη νεκρος. 10 Καταβας δε ὁ Παυλος επεπεσεν αυτω, και συμπεριλαβων[12] ειπεν, "Μη θορυβεισθε,[13] ἡ γαρ ψυχη αυτου εν αυτω εστιν!" 11 Αναβας δε και κλασας αρτον και γευσαμενος, εφ' ἱκανον τε ὁμιλησας αχρις αυγης—ούτως εξηλθεν! 12 (Ηγαγον δε τον παιδα ζωντα, και παρεκληθησαν[14] ου μετριως.)

13 Ἡμεις[15] δε προσελθοντες επι το πλοιον ανηχθημεν εις την Ασσον, εκειθεν μελλοντες αναλαμβανειν τον Παυλον—ούτως γαρ ἡν διατεταγμενος, μελλων αυτος πεζευειν. 14 Ὡς δε συνεβαλεν ἡμιν εις την[16] Ασσον αναλαβοντες αυτον ηλθομεν εις Μιτυληνην. 15 Κακειθεν αποπλευσαντες, τη επιουση κατηντησαμεν αντικρυ Χιου, τη δε ἑτερα παρεβαλομεν εις Σαμον, και μειναντες εν Τρωγυλιω·[17] τη εχομενη ηλθομεν εις Μιλητον.[18] 16 (Εκρινεν[19] γαρ ὁ Παυλος παραπλευσαι την Εφεσον, ὁπως μη γενηται αυτω χρονοτριβησαι εν τη Ασια, εσπευδεν γαρ, ει δυνατον ἡν αυτω, την ἡμεραν της Πεντηκοστης γενεσθαι εις Ἱεροσολυμα.)

[Miletus]

17 Απο δε της Μιλητου[20] πεμψας εις Εφεσον μετεκαλεσατο τους πρεσβυτερους της εκκλησιας. 18 Ὡς δε παρεγενοντο προς αυτον, ειπεν αυτοις: "Ὑμεις επιστασθε απο πρωτης ἡμερας[21] ἡς επεβην εις την Ασιαν, πως μεθ' ὑμων τον παντα χρονον εγενομην, 19 δουλευων τω Κυριω μετα πασης ταπεινοφροσυνης, και πολλων δακρυων και πειρασμων, των συμβαντων μοι εν ταις επιβουλαις των Ιουδαιων· 20 ὡς ουδεν ὑπεστειλαμην των

---

[1] επιβουλης αυτω 1732[c] || ~ 21 [75%] 1075,1732
[2] γνωμη || γνωμης [7%] 328,394,928,986,1058,1247,1249,1482,1749,1856,2255
[3] σωπατρος || 1 πυρου 2080 (πυρρου [5%]) || σωσιπατρος 1892 (s)
[4] θεσσαλονικεων 201[c] || θεσσαλονικαιων [10%] 201,1075,1249 (sp)
[5] και || 11 141 (repeats from one line to the next)
[6] μετα || μετατα 1503 (i)
[7] των μαθητων 35[c] || ημων [7%] 35
[8] παρετεινεν || παρετινε 1876 (i)
[9] καθημενος 35[c] || καθεζομενος [4%] 35
[10] βαθει || βαθυ 1732 (s)
[11] απο || υπο [30%] 328,394,1140,1247,1249[c],1732,1749,1761,1856,1897
[12] συμπεριλαβων 35[c] || 1 αυτον [2%] 35
[13] θορυβεισθε || θροεισθε 1637 (s)
[14] παρεκληθησαν || παρεκληθημεν 1876 (s)
[15] ημεις || υμεις 824 (s)
[16] την || --- 1740 (from one line to the next)
[17] τρωγυλιω 35[c] || τρωγγυλιω 35
[18] μιλητον || μιλιτον 2218 (i)
[19] εκρινεν 35[c] || κεκρικει [4%] 35
[20] μιλητου || μελητου 1876 || μιλυτου 1856 (sp)
[21] ημερας || 11 18 (repeats)

συμφεροντων του μη αναγγειλαι υμιν και διδαξαι υμας δημοσια και κατ' οικους,
21 διαμαρτυρομενος Ιουδαιοις τε και Ἑλλησιν την εις Θεον μετανοιαν και πιστιν την[1]
εις τον Κυριον ημων Ιησουν.[2] 22 Και νυν ιδου, εγω δεδεμενος τω πνευματι πορευομαι εις
Ἰερουσαλημ, τα εν αυτη συναντησοντα μοι μη ειδως, 23 πλην ὁτι το Πνευμα[3] το Ἁγιον
κατα πολιν διαμαρτυρεται,[4] λεγον ὁτι δεσμα με και θλιψεις μενουσιν. 24 Αλλ' ουδενος
λογον ποιουμαι, ουδε[5] εχω την ψυχην μου τιμιαν εμαυτω, ὡς τελειωσαι τον δρομον μου[6]
μετα χαρας, και την διακονιαν ἣν ελαβον παρα του[7] Κυριου Ιησου[8] διαμαρτυρασθαι το
ευαγγελιον της χαριτος του Θεου.

25 "Και νυν ιδου, εγω οιδα ὁτι ουκετι οψεσθε[9] το προσωπον μου υμεις παντες εν
οἷς διηλθον κηρυσσων την βασιλειαν του Θεου. 26 Διο μαρτυρομαι[10] υμιν εν τη σημερον
ἡμερα ὁτι καθαρος εγω απο του αἱματος παντων·[11] 27 ου γαρ ὑπεστειλαμην του μη[12]
αναγγειλαι υμιν πασαν την βουλην του Θεου. 28 Προσεχετε ουν ἑαυτοις και παντι τω
ποιμνιω, εν ᾧ υμας το Πνευμα το Ἁγιον εθετο επισκοπους, ποιμαινειν[13] την εκκλησιαν
του Κυριου και[14] Θεου ἣν περιεποιησατο δια του[15] ιδιου αἱματος. 29 Εγω γαρ οιδα τουτο,
ὁτι εισελευσονται[16] μετα την αφιξιν μου λυκοι βαρεις εις υμας, μη φειδομενοι του
ποιμνιου. 30 Και εξ υμων αυτων αναστησονται ανδρες, λαλουντες διεστραμμενα, του
αποσπαν τους μαθητας οπισω αυτων. 31 Διο γρηγορειτε, μνημονευοντες ὁτι τριετιαν νυκτα
και ἡμεραν ουκ επαυσαμην, μετα δακρυων, νουθετων ἑνα ἑκαστον.

32 "Και τα νυν παρατιθεμαι υμας, αδελφοι, τω Θεω και τω λογω της χαριτος
αυτου, τω δυναμενω[17] εποικοδομησαι και δουναι υμιν κληρονομιαν εν τοις ἡγιασμενοις
πασιν. 33 Αργυριου ἠ χρυσιου ἠ ἱματισμου ουδενος επεθυμησα. 34 Αυτοι γινωσκετε ὁτι
ταις χρειαις μου, και τοις ουσιν μετ' εμου, ὑπηρετησαν αἱ χειρες αὑται. 35 Παντα
ὑπεδειξα υμιν ὁτι οὑτως κοπιωντας δει αντιλαμβανεσθαι των ασθενουντων, μνημονευειν τε
του λογου του Κυριου Ιησου ὁτι αυτος ειπεν, 'Μακαριον εστιν μαλλον διδοναι ἠ
λαμβανειν'."

36 Και ταυτα ειπων, θεις τα γονατα αυτου, συν πασιν αυτοις προσηυξατο. 37
Ἱκανος δε κλαυθμος εγενετο παντων, και επιπεσοντες επι τον τραχηλον του Παυλου
κατεφιλουν αυτον, 38 οδυνωμενοι[18] μαλιστα επι τω λογω ᾧ ειρηκει, ὁτι ουκετι μελλουσιν
το προσωπον αυτου θεωρειν. Προεπεμπον δε αυτον εις το πλοιον.

[Paul is warned—<u>again</u>]

---

[1] την || τον 801 (i)
[2] ιησουν 35[c] || 1 χριστον [25%] 35,2255
[3] πνευμα 35[c] || 1 μοι [7%] 35
[4] διαμαρτυρεται || 1 μοι [15%] 2080[c]
[5] ουδε || 1 γαρ 328 (s)
[6] μου || --- 394 (s)
[7] του || --- 986 (s)
[8] ιησου || 1 χριστου 2080 (s)
[9] οψεσθε || οψεσθαι 2352 (s)
[10] διο μαρτυρομαι || διαμαρτυρομαι 2218 (s)
[11] παντων || 1 υμων 2080[c]
[12] μη || --- 2378 (s)
[13] ποιμαινειν 1249[c?] || ποιμαινην 1249
[14] κυριου και 35[c] || --- [4%] 35
[15] 1761 is missing 20:29 - 21:11.
[16] εισελευσονται || ελευσονται 801 (s)
[17] δυναμενω 35[c] || 1 υμας [3%] 35
[18] οδυνωμενοι || οδυνομενοι 1723 (i)

21.1 Ὡς δε εγενετο αναχθηναι ἡμας αποσπασθεντας απ' αυτων, ευθυδρομησαντες ηλθομεν εις την Κω, τη δε ἑξης εις την[1] Ῥοδον,[2] κακειθεν εις Παταρα. 2 Και εὑροντες πλοιον διαπερων[3] εις Φοινικην, επιβαντες ανηχθημεν.[4] 3 Αναφανεντες δε την Κυπρον και[5] καταλιποντες αυτην ευωνυμον, επλεομεν εις Συριαν και κατηχθημεν εις Τυρον, εκεισε γαρ ἦν το πλοιον αποφορτιζομενον τον γομον. 4 Και ανευροντες μαθητας, επεμειναμεν[6] αυτου[7] ἡμερας ἑπτα· οἵτινες τω Παυλω ελεγον, δια του Πνευματος, μη αναβαινειν εις Ἱερουσαλημ. 5 Ὅτε δε εγενετο ἡμας εξαρτισαι τας ἡμερας, εξελθοντες επορευομεθα, προπεμποντων ἡμας παντων, συν γυναιξιν και τεκνοις, ἑως εξω της πολεως, και θεντες τα γονατα επι τον αιγιαλον προσηυξαμεθα. 6 Και ασπασαμενοι αλληλους, επεβημεν εις το πλοιον, εκεινοι δε ὑπεστρεψαν εις τα ιδια.

7 Ἡμεις δε τον πλουν διανυσαντες απο Τυρου, κατηντησαμεν εις Πτολεμαιδα· και ασπασαμενοι τους αδελφους εμειναμεν ἡμεραν μιαν[8] παρ' αυτοις. 8 Τῃ δε επαυριον εξελθοντες,[9] ηλθομεν εις Καισαρειαν· και εισελθοντες[10] εις τον οικον Φιλιππου του ευαγγελιστου (οντος εκ των ἑπτα), εμειναμεν παρ' αυτω. 9 (Τουτω δε ησαν θυγατερες[11] παρθενοι[12] τεσσαρες[13] προφητευουσαι.)

[Agabus]

10 Επιμενοντων δε ἡμων ἡμερας πλειους, κατηλθεν τις απο της Ιουδαιας προφητης ονοματι Αγαβος. 11 Και ελθων προς ἡμας και αρας την ζωνην του Παυλου, δησας τε αυτου τους ποδας και τας χειρας[14] ειπεν, "Ταδε λεγει το Πνευμα το Ἁγιον: Τον ανδρα οὗ εστιν ἡ ζωνη αὑτη οὑτως δησουσιν εν Ἱερουσαλημ οἱ Ιουδαιοι, και παραδωσουσιν εις χειρας εθνων'." 12 Ὡς δε ηκουσαμεν ταυτα, παρεκαλουμεν,[15] ἡμεις τε και οἱ εντοπιοι, του[16] μη αναβαινειν αυτον[17] εις Ἱερουσαλημ. 13 Απεκριθη τε ὁ Παυλος: "Τί ποιειτε, κλαιοντες και συνθρυπτοντες[18] μου την καρδιαν? Εγω γαρ ου μονον δεθηναι, αλλα και αποθανειν εις Ἱερουσαλημ, ἑτοιμως εχω ὑπερ του ονοματος του Κυριου Ιησου." 14 Μη πειθομενου δε αυτου, ἡσυχασαμεν ειποντες, "Το θελημα του[19] Κυριου γενεσθω".[20]

[Jerusalem]

15 Μετα δε τας ἡμερας ταυτας επισκευασαμενοι ανεβαινομεν εις Ἱερουσαλημ.[21] 16 Συνηλθον δε και των μαθητων απο Καισαρειας συν ἡμιν, αγοντες παρ' ᾧ ξενισθωμεν, Μνασωνι τινι Κυπριω, αρχαιω μαθητη. 17 Γενομενων δε ἡμων εις Ἱεροσολυμα, ασμενως

---

[1] την 35[c] || --- [1%] 35
[2] ροδον || ρωδον 1876 (sp)
[3] διαπερων || διαπερον 2218[c]
[4] ανηχθημεν || ανοιχθημεν 1617 (s)
[5] και || --- 1725
[6] επεμειναμεν || εμειναμεν 328 (s)
[7] αυτου 35[c] || παρ αυτοις [1%] 35
[8] μιαν || --- 204 (s)
[9] εξελθοντες || 1 οι περι τον παυλον (13.3%) 1247,1892[c],2080
[10] 1140 omitted ηλθομεν εις Καισαρειαν και εισελθοντες (clear homoioteleuton); a later hand supplied the missing words correctly.
[11] θυγατερες || θυγατεραις 1732 (s)
[12] παρθενοι 1892[c] || --- 1892
[13] παρθενοι τεσσαρες 35[c] || ~ 21 [5%] 2466 || 2 [1%] 35
[14] τους ποδας και τας χειρας || ~ 45312 [15%] 2218
[15] παρεκαλουμεν || παρακαλουμεν 2378 (s)
[16] του || --- 1040 (s)
[17] αυτον || --- 1058,2255,2587 (/)
[18] συνθρυπτοντες || συνθριπτοντες 328,2218 (/)
[19] του || --- 328 (s)
[20] γενεσθω 2218[c] || γενεσθαι 2218
[21] ιερουσαλημ 35[c] || ιεροσολυμα [7%] 35

εδεξαντο ἡμας οἱ αδελφοι. 18 Τῃ δε επιουση εισηει ὁ Παυλος,[1] συν ἡμιν, προς Ιακωβον, παντες τε[2] παρεγενοντο οἱ πρεσβυτεροι. 19 Και ασπασαμενος αυτους, εξηγειτο καθ' ἑν ἑκαστον ὡν εποιησεν ὁ Θεος εν[3] τοις εθνεσιν δια της διακονιας αυτου.

[Paul submits to a false agenda]

20 Οἱ δε ακουσαντες εδοξαζον τον Κυριον, ειποντες αυτω: "Θεωρεις, αδελφε, ποσαι μυριαδες εισιν Ιουδαιων των πεπιστευκοτων,[4] και παντες ζηλωται του νομου ὑπαρχουσιν· 21 κατηχηθησαν δε περι σου ὁτι αποστασιαν διδασκεις απο Μωυσεος[5] τους κατα τα εθνη παντας Ιουδαιους,[6] λεγων μη περιτεμνειν αυτους τα τεκνα μηδε[7] τοις εθεσιν[8] περιπατειν. 22 Τί ουν εστιν? Παντως δει πληθος συνελθειν· ακουσονται γαρ[9] ὁτι εληλυθας. 23 Τουτο ουν ποιησον ὅ σοι[10] λεγομεν: Εισιν ἡμιν ανδρες τεσσαρες ευχην εχοντες εφ' ἑαυτων. 24 Τουτους παραλαβων ἁγνισθητι συν αυτοις, και δαπανησον επ' αυτοις ἱνα ξυρησωνται[11] την κεφαλην, και γνωσιν παντες ὁτι ὡν κατηχηνται περι σου[12] ουδεν εστιν· αλλα στοιχεις και αυτος τον νομον φυλασσων.[13] 25 Περι δε των πεπιστευκοτων εθνων ἡμεις επεστειλαμεν, κριναντες μηδεν τοιουτον τηρειν αυτους, ει μη[14] φυλασσεσθαι[15] αυτους το τε ειδωλοθυτον και το αἱμα και[16] πνικτον και πορνειαν."

[Paul arrested]

26 Τοτε ὁ Παυλος παραλαβων τους ανδρας, τῃ εχομενῃ ἡμερα συν αυτοις ἁγνισθεις εισηει[17] εις το ἱερον, διαγγελλων την εκπληρωσιν των ἡμερων του ἁγνισμου, ἑως οὗ προσηνεχθη[18] ὑπερ ἑνος ἑκαστου αυτων[19] ἡ προσφορα. 27 Ὡς δε ημελλον[20] αἱ ἑπτα ἡμεραι συντελεισθαι, οἱ απο της Ασιας Ιουδαιοι, θεασαμενοι αυτον εν τω ἱερω, συνεχεον παντα τον οχλον και επεβαλον επ' αυτον τας χειρας, 28 κραζοντες: "Ἀνδρες Ισραηλιται, βοηθειτε! Οὑτος εστιν ὁ ανθρωπος ὁ κατα του λαου και του νομου και του τοπου τουτου[21] παντας πανταχου διδασκων. Ετι τε και Ἑλληνας εισηγαγεν εις το ἱερον και κεκοινωκεν[22] τον ἁγιον τοπον τουτον!"[23] 29 (Ησαν γαρ ἑωρακοτες Τροφιμον τον Εφεσιον εν τῃ πολει συν αυτω, ὃν ενομιζον ὁτι εις το ἱερον εισηγαγεν ὁ Παυλος.)

30 Εκινηθη τε ἡ πολις ὁλη και εγενετο συνδρομη του λαου. Και επιλαβομενοι του Παυλου εἱλκον αυτον εξω του ἱερου, και ευθεως εκλεισθησαν αἱ θυραι. 31 Ζητουντων δε

---

[1] παυλος || πλαυλος 1876 (i)
[2] τε || δε 604,2378 (s)
[3] εν || --- 1856 (s)
[4] ιουδαιων των πεπιστευκοτων || ~ 231 1761 (s)
[5] μωυσεος || μωυσεως [45%] 2255
[6] απο μωυσεος τους κατα τα εθνη παντας ιουδαιους || ~ 34567812 1761 (s)
[7] μηδε || μη 1617 (s)
[8] εθεσιν || εθνεσιν [15%] 1548
[9] γαρ 141c || --- [4%] 141
[10] ο σοι || οσον 801 (i)
[11] ξυρησωνται || ξυρησονται [18%] 1249 || ξυρισωνται 328
[12] σου || 1 οτι ων κατηχηνται περι σου 1248 (s)
[13] τον νομον φυλασσων 35c || ~ 312 [10%] 35
[14] ει μη || --- 1040 (s)
[15] φυλασσεσθαι || φυλασεσθαι 1249 (i)
[16] και || 1 το 1761 (s)
[17] εισηει || ειστηει 824 (apparently—it is strange)
[18] προσηνεχθη || προσηνεγχθη 1249,1856 || προσυνεχθη 1548 (s)
[19] αυτων || --- 2441 (s)
[20] ημελλον || εμελλον [65%] 801,1746,1892,2255
[21] τουτου || --- [5%] 201
[22] κεκοινωκεν 35c,1656c,1892c || κεκοινωνηκεν [20%] 35,1656,1892,2431
[23] τουτον || --- 2431 (s)

αυτον[1] αποκτειναι, ανεβη φασις τω χιλιαρχω της σπειρας[2] ὁτι ὁλη συγκεχυται[3] Ἰερουσαλημ· 32 ὃς εξαυτης παραλαβων στρατιωτας και ἑκατονταρχους, κατεδραμεν επ' αυτους· οἱ δε, ιδοντες τον χιλιαρχον και τους στρατιωτας, επαυσαντο τυπτοντες τον Παυλον. 33 Εγγισας δε ὁ χιλιαρχος επελαβετο αυτου, και εκελευσεν δεθηναι ἁλυσεσιν δυσιν, και επυνθανετο τίς αν ειη και τί εστιν πεποιηκως. 34 Αλλοι δε αλλο τι εβοων εν τω οχλω· μη δυναμενος[4] δε γνωναι το ασφαλες, δια τον θορυβον,[5] εκελευσεν αγεσθαι αυτον εις την παρεμβολην. 35 Ὁτε δε εγενετο επι τους αναβαθμους, συνεβη βασταζεσθαι αυτον ὑπο των στρατιωτων, δια την βιαν του οχλου. 36 Ηκολουθει[6] γαρ το πληθος του λαου κραζον, "Αιρε αυτον!"

37 Μελλων δε εις την παρεμβολην εισαγεσθαι, ὁ Παυλος[7] λεγει τω χιλιαρχω, "Ἐι εξεστιν μοι ειπειν[8] προς σε?" Ὁ δε[9] εφη: "Ἑλληνιστι γινωσκεις? 38 Ουκ αρα συ εἶ ὁ Αιγυπτιος ὁ προ τουτων των ἡμερων αναστατωσας και εξαγαγων εις την ερημον τους τετρακισχιλιους ανδρας των Σικαριων?" 39 Ειπεν δε ὁ Παυλος, "Ἐγω ανθρωπος μεν[10] ειμι Ιουδαιος, Ταρσευς της Κιλικιας, ουκ ασημου[11] πολεως πολιτης· δεομαι δε[12] σου, επιτρεψον μοι λαλησαι προς τον λαον". 40 Επιτρεψαντος δε αυτου, ὁ Παυλος ἑστως επι των αναβαθμων κατεσεισεν τη χειρι τω λαω·[13] πολλης δε σιγης γενομενης, προσεφωνει[14] τη Ἑβραιδι διαλεκτω λεγων:

[Paul addresses the mob]

22.1 "Ανδρες αδελφοι και πατερες, ακουσατε μου της προς υμας νυνι απολογιας". 2 Ακουσαντες δε ὁτι τη Ἑβραιδι διαλεκτω προσεφωνει αυτοις, μαλλον παρεσχον ἡσυχιαν. Και φησιν: 3 "Ἐγω μεν ειμι ανηρ Ιουδαιος, γεγεννημενος[15] εν Ταρσω της Κιλικιας, ανατεθραμμενος δε[16] εν τη πολει ταυτη παρα τους ποδας Γαμαλιηλ, πεπαιδευμενος κατα ακριβειαν του πατρωου νομου, ζηλωτης ὑπαρχων του Θεου, καθως παντες ὑμεις εστε[17] σημερον· 4 ὃς ταυτην την Ὁδον εδιωξα αχρι θανατου, δεσμευων[18] και παραδιδους εις φυλακας ανδρας τε και γυναικας, 5 ὡς και ὁ αρχιερευς μαρτυρει μοι και παν το πρεσβυτεριον· παρ' ὧν και επιστολας δεξαμενος προς τους αδελφους εις Δαμασκον επορευομην, αξων και τους εκεισε οντας δεδεμενους εις Ἰερουσαλημ, ἱνα τιμωρηθωσιν. 6 Εγενετο δε μοι πορευομενω και εγγιζοντι τη[19] Δαμασκω, περι μεσημβριαν, εξαιφνης[20] εκ του ουρανου περιαστραψαι φως ἱκανον περι εμε. 7 Επεσον τε εις το εδαφος και ηκουσα φωνης λεγουσης μοι, 'Σαουλ, Σαουλ, τί με διωκεις?' 8 Εγω δε απεκριθην, 'Τίς εἶ, Κυριε?'

---

[1] αυτον || αυτων 986,1732 (/)
[2] 1856 is missing 21:31-26:20.
[3] συγκεχυται || 1 η [5%] 201,1652
[4] δυναμενος || δυναμενον 1725
[5] θορυβον || οχλον 2352 (s)
[6] ηκολουθει || ηκολουθη [30%] 2378
[7] εις την παρεμβολην εισαγεσθαι ο παυλος || ~ 561234 1075 (s)
[8] ειπειν || 1 τι 2080c
[9] ο δε || --- 1247 (s)
[10] μεν || --- 986 (s)
[11] ασημου || ασιμου [35%] 1617,1897,2218 (sp)
[12] δε 2261c || --- [20%] 824,1723,2261,2378,2441
[13] τω λαω || τον λαον 2218 (s)
[14] προσεφωνει 35c || προσεφωνησεν [80%] 35,1247,1249c || προσεφωνη 1249
[15] γεγεννημενος || γεγενημενος [25%] 2466
[16] δε || --- 149 (s)
[17] εστε || εσται 2218 (s)
[18] δεσμευων || δευμευων 1897 (i)
[19] τη || την 2466 (s)
[20] εξαιφνης || εξεφνης 2378 (i)

Ειπεν τε προς με, Ἐγω ειμι Ιησους ὁ Ναζωραιος,[1] ὃν συ διωκεις'. 9 Οἱ δε συν εμοι οντες το μεν φως εθεασαντο, και εμφοβοι εγενοντο· την δε φωνην ουκ ηκουσαν του λαλουντος μοι. 10 Ειπον δε, Τί ποιησω, Κυριε?' Ὁ δε Κυριος ειπεν προς με, Ἀναστας πορευου εις Δαμασκον, κακει σοι λαληθησεται περι παντων ὧν τετακται σοι[2] ποιησαι'. 11 Ὡς δε ουκ ενεβλεπον απο της δοξης του φωτος εκεινου, χειραγωγουμενος ὑπο των συνοντων μοι, ηλθον εις Δαμασκον. 12 Ανανιας δε τις, ανηρ ευσεβης κατα τον νομον, μαρτυρουμενος ὑπο παντων των κατοικουντων εν Δαμασκω Ιουδαιων, 13 ελθων προς με και επιστας ειπεν μοι, Ἀδελφε Σαουλ, αναβλεψον!' Καγω αυτη τη ὡρα ανεβλεψα εις αυτον. 14 Ὁ δε ειπεν: "Ο Θεος των πατερων ἡμων προεχειρισατο[3] σε[4] γνωναι το θελημα αυτου, και ιδειν τον[5] Δικαιον, και ακουσαι φωνην εκ[6] του στοματος αυτου. 15 Ὁτι εση μαρτυς αυτω προς παντας ανθρωπους ὧν[7] ἑωρακας και ηκουσας. 16 Και νυν τί μελλεις?[8] Αναστας, βαπτισαι και απολουσαι τας ἁμαρτιας σου, επικαλεσαμενος το ονομα του[9] Κυριου.'

17 "Εγενετο δε μοι ὑποστρεψαντι εις Ἱερουσαλημ και προσευχομενου[10] μου[11] εν τω ἱερω, γενεσθαι με[12] εν εκστασει 18 και ιδειν αυτον λεγοντα μοι, Σπευσον και[13] εξελθε εν ταχει εξ Ἱερουσαλημ, διοτι ου παραδεξονται[14] σου την μαρτυριαν[15] περι εμου'. 19 Καγω ειπον: Κυριε, αυτοι επισταναι ὁτι εγω ημην φυλακιζων και δαιρων[16] κατα τας συναγωγας τους πιστευοντας εις[17] σε· 20 και ὁτε εξεχειτο το αἱμα Στεφανου του μαρτυρος σου,[18] και αυτος ημην εφεστως και συνευδοκων τη αναιρεσει αυτου, και φυλασσων τα ἱματια των αναιρουντων αυτον.'[19] 21 Και ειπεν προς με, Πορευου, ὁτι εγω εις εθνη μακραν[20] εξαποστελω[21] σε'."

[A Roman citizen]

22 Ηκουον δε αυτου[22] αχρι τουτου του λογου,[23] και επηραν την φωνην αυτων λεγοντες, "Αιρε απο της γης τον τοιουτον, ου γαρ καθηκεν[24] αυτον ζην!" 23 Κραυγαζοντων[25] δε αυτων και ῥιπτουντων[26] τα ἱματια, και κονιορτον βαλλοντων εις τον αερα, 24 εκελευσεν ὁ χιλιαρχος αγεσθαι αυτον εις την παρεμβολην, ειπων μαστιξιν

---

[1] ο ναζωραιος || --- 1892 (s)
[2] περι παντων ων τετακται σοι || τι σε δει [16%] 1247
[3] προεχειρισατο || προεχειρησατο [12%] 2261
[4] σε || σαι 1876 (s)
[5] τον 2080[c] || το 1732,2080
[6] εκ || εν 1248 (s)
[7] ων || 1 τε 328 (s)
[8] μελλεις || μελεις 2218 (i)
[9] του || --- [15%] 1876
[10] προσευχομενου || προσευχομενω 1761,2080 (/)
[11] μου 35[c] || --- [5%] 35,1761,2080
[12] με || μοι 141,1617 (/)
[13] και || --- 1140 (s)
[14] παραδεξονται || παραδεχονται 2218 (i)
[15] 757 is missing 22:19-23:7.
[16] δαιρων || δερων [80%] 1247,1746,2378
[17] εις 35[c] || επι [80%] 35
[18] στεφανου του μαρτυρος σου || ~ 2341 328,394,928,1247,1249,1508,1723,1749,2441 (/)
[19] αυτον || αυτων 2218 (s)
[20] εθνη μακραν || ~ 21 2255 (s)
[21] εξαποστελω 141[c],1249[c] || εξαποστελλω 141,1249
[22] δε αυτου || γαρ 2378 (s)
[23] τουτου του λογου || ~ 231 328 (s)
[24] καθηκεν 35[c] || καθηκει [2%] 35
[25] κραυγαζοντων 35[c] || κραζοντων [16%] 35,2261 || κραυγαζοντον 1836 (s)
[26] ριπτουντων || ρυπτουντων 824[v],2378

ανεταζεσθαι αυτον,[1] ἱνα επιγνω[2] δι' ἥν αιτιαν οὑτως επεφωνουν αυτω.[3] 25 Ὡς δε προετειναν[4] αυτον τοις ἱμασιν,[5] ειπεν προς τον ἑστωτα[6] ἑκατονταρχον ὁ Παυλος, "Ει ανθρωπον Ῥωμαιον και ακατακριτον εξεστιν ὑμιν μαστιζειν?" 26 Ακουσας δε ὁ ἑκατονταρχος, προσελθων τω χιλιαρχω απηγγειλεν λεγων, "Ὁρα τί μελλεις ποιειν, ὁ γαρ ανθρωπος οὑτος Ῥωμαιος εστιν!" 27 Προσελθων δε ὁ χιλιαρχος ειπεν αυτω, "Λεγε μοι, ει συ Ῥωμαιος εἶ?" Ὁ δε εφη, "Ναι". 28 Απεκριθη τε ὁ χιλιαρχος, "Εγω πολλου κεφαλαιου την πολιτειαν ταυτην εκτησαμην". Ὁ δε Παυλος εφη, "Εγω δε και[7] γεγεννημαι." 29 Ευθεως ουν απεστησαν απ' αυτου οἱ μελλοντες αυτον ανεταζειν· και ὁ χιλιαρχος δε εφοβηθη, επιγνους ὁτι Ῥωμαιος εστιν και ὁτι ἦν αυτον δεδεκως.[8]

[The Sanhedrin]

30 Τη δε επαυριον, βουλομενος γνωναι το ασφαλες το[9] τί κατηγορειται υπο των Ιουδαιων, ελυσεν αυτον απο[10] των[11] δεσμων[12] και εκελευσεν ελθειν[13] τους αρχιερεις και παν[14] το συνεδριον αυτων,[15] και καταγαγων τον Παυλον εστησεν εις αυτους. 23.1 Ατενισας δε ὁ Παυλος τω συνεδριω ειπεν, "Ανδρες αδελφοι, εγω παση συνειδησει αγαθη πεπολιτευμαι τω Θεω[16] αχρι ταυτης της ἡμερας". 2 Ὁ δε αρχιερευς Ανανιας επεταξεν τοις παρεστωσιν αυτω τυπτειν αυτου το στομα. 3 Τοτε ὁ Παυλος προς αυτον ειπεν: "Τυπτειν σε μελλει[17] ὁ Θεος, τοιχε κεκονιαμενε! Και συ καθη κρινων με κατα τον νομον, και παρανομων κελευεις με τυπτεσθαι!" 4 Οἱ δε παρεστωτες ειπον, "Τον αρχιερεα του Θεου λοιδορεις?" 5 Εφη τε ὁ Παυλος: "Ουκ ηδειν,[18] αδελφοι, ὁτι εστιν αρχιερευς· γεγραπται γαρ,[19] 'Αρχοντα του λαου σου ουκ ερεις κακως'."

6 Γνους δε ὁ Παυλος ὁτι το ἑν μερος εστιν Φαρισαιων, το δε ἑτερον Σαδδουκαιων, εκραξεν εν τω συνεδριω, "Ανδρες αδελφοι, εγω Φαρισαιος ειμι, υἱος Φαρισαιου· περι ελπιδος και αναστασεως νεκρων[20] εγω κρινομαι!" 7 Τουτο δε αυτου λαλησαντος, εγενετο στασις των Φαρισαιων και των Σαδδουκαιων, και εσχισθη το πληθος. 8 (Σαδδουκαιοι μεν γαρ λεγουσιν μη ειναι αναστασιν, μητε αγγελον μητε πνευμα, Φαρισαιοι δε ὁμολογουσιν τα αμφοτερα.) 9 Εγενετο δε κραυγη μεγαλη, και ανασταντες οἱ γραμματεις του μερους των Φαρισαιων διεμαχοντο λεγοντες, "Ουδεν κακον εὑρισκομεν εν τω ανθρωπω τουτω· ει δε πνευμα ελαλησεν αυτω ἡ αγγελος, μη θεομαχωμεν!" 10 Πολλης δε γενομενης στασεως,

---

[1] εις την παρεμβολην ειπων μαστιξιν ανεταξεσθαι αυτον || --- 2255 (h)
[2] επιγνω || γνω 2218 (s)
[3] επεφωνουν αυτω 35[c] || κατεφωνουν αυτου [1%] 35
[4] προετειναν 35[c] || προετεινον [5%] 35
[5] ἱμασιν || ιμασιν 386
[6] εστωτα || εφεστωτα 2080[c] || ενεστωτα 2378 (s)
[7] 2441 is missing 22:29 – 23:11.
[8] αυτον δεδεκως || 1 δεδωκως 328 (i) || αυτω δεδεικως 986 (s)
[9] ασφαλες το || --- 1892 (h)
[10] απο || --- 1725
[11] 1248 omits Ιουδαιων ελυσεν αυτον απο των (h)
[12] απο των δεσμον 35[c] || --- (9.9%) 35
[13] ελθειν || συνελθειν [5%] 2080[c]
[14] παν || απαν 1652 (s)
[15] αυτων 35[c] || --- [12%] 35
[16] τω θεω 35[c] || --- 35
[17] μελλει || μελλοι 1617 (s)
[18] ηδειν || ηδην 328,394 (/)
[19] γαρ 1503[c] || 1 οτι [5%] 1503
[20] νεκρων || --- 2378 (s)

ευλαβηθεις[1] ὁ χιλιαρχος μη διασπασθη ὁ Παυλος ὑπ' αυτων, εκελευσεν το στρατευμα καταβηναι και[2] ἁρπασαι αυτον εκ μεσου αυτων, αγειν τε εις την παρεμβολην.

[A plot exposed]

11 Τη δε επιουση νυκτι επιστας αυτω ὁ Κυριος ειπεν, "Θαρσει Παυλε,[3] ὡς γαρ διεμαρτυρω[4] τα περι εμου εις Ἰερουσαλημ, οὑτως σε δει και εις Ῥωμην μαρτυρησαι". 12 Γενομενης δε ἡμερας, ποιησαντες τινες των Ιουδαιων[5] συστροφην, ανεθεματισαν ἑαυτους[6] μητε φαγειν μητε πιειν[7] ἑως οὗ ανελωσιν[8] τον Παυλον. 13 Ησαν δε πλειους τεσσαρακοντα οἱ ταυτην την συνωμοσιαν πεποιηκοτες·[9] 14 οἵτινες προσελθοντες τοις αρχιερευσιν και τοις πρεσβυτεροις ειπον: "Αναθεματι ανεθεματισαμεν ἑαυτους μηδενος γευσασθαι ἑως οὗ αποκτεινωμεν τον Παυλον. 15 Νυν ουν, ὑμεις εμφανισατε τω χιλιαρχω, συν τω συνεδριω, ὁπως αυριον καταγαγη αυτον[10] προς ὑμας,[11] ὡς μελλοντας διαγινωσκειν ακριβεστερον τα περι αυτου· ἡμεις δε, προ[12] του εγγισαι αυτον, ἑτοιμοι εσμεν του ανελειν αυτον."

16 Ακουσας δε ὁ υἱος της αδελφης Παυλου το ενεδρον, παραγενομενος και εισελθων εις την παρεμβολην, απηγγειλεν τω Παυλω. 17 Προσκαλεσαμενος δε ὁ Παυλος ἑνα των[13] ἑκατονταρχων εφη, "Τον νεανιαν τουτον απαγαγε προς[14] τον χιλιαρχον, εχει γαρ τι απαγγειλαι αυτω". 18 Ὁ μεν ουν παραλαβων αυτον ηγαγεν προς τον χιλιαρχον και φησιν, "Ὁ δεσμιος Παυλος προσκαλεσαμενος με ηρωτησεν τουτον τον νεανιαν[15] αγαγειν προς σε, εχοντα τι[16] λαλησαι σοι". 19 Επιλαβομενος δε της χειρος αυτου, ὁ χιλιαρχος και αναχωρησας κατ' ιδιαν επυνθανετο, "Τί εστιν ὁ εχεις απαγγειλαι μοι?" 20 Ειπεν δε ὁτι "Οἱ[17] Ιουδαιοι συνεθεντο του ερωτησαι σε ὁπως αυριον εις το συνεδριον καταγαγης τον Παυλον,[18] ὡς μελλοντες τι ακριβεστερον πυνθανεσθαι περι αυτου. 21 Συ ουν μη πεισθης αυτοις· ενεδρευουσιν γαρ αυτον[19] εξ αυτων ανδρες πλειους τεσσαρακοντα, οἵτινες ανεθεματισαν ἑαυτους μητε φαγειν μητε πιειν ἑως οὗ ανελωσιν αυτον, και νυν ἑτοιμοι εισιν προσδεχομενοι την απο σου επαγγελιαν." 22 Ὁ μεν ουν χιλιαρχος απελυσεν τον νεανιαν παραγγειλας, "Μηδενι εκλαλησαι ὁτι ταυτα ενεφανισας προς με!"

[Paul sent to Felix]

23 Και προσκαλεσαμενος δυο τινας των ἑκατονταρχων ειπεν: "Ἑτοιμασατε στρατιωτας[20] διακοσιους ὁπως πορευθωσιν ἑως Καισαρειας, και ἱππεις ἑβδομηκοντα[21] και δεξιολαβους διακοσιους, απο τριτης ὡρας της νυκτος· 24 κτηνη τε παραστησαι, ἱνα

---

[1] ευλαβηθεις 35[c] || φοβηθεις [7%] 35
[2] καταβηναι και 35[c] || καταβαν [5%] 35
[3] παυλε 35[c] || --- [5%] 35
[4] διεμαρτυρω || διεμαρτυρησω 386 (s)
[5] τινες των ιουδαιων 35[c] || οι ιουδαιοι [10%] 35
[6] εαυτους || 1 λεγοντες [75%] 1247
[7] πιειν || ποιειν 1548 (twice), 1876 (once)
[8] ανελωσιν || αποκτεινωσι [80%] 2261
[9] πεποιηκοτες || πεποικοτες 801 (i)
[10] αυριον καταγαγη αυτον 35[c] || ~ 32 35 || ~ 312 2261 [5% omit αυριον, 65% have ~ 32]
[11] υμας || ημας 1075 (s)
[12] προ || --- 1876 (s)
[13] των || τον 2255 (s)
[14] προς || εις 801 (s)
[15] τουτον τον νεανιαν || ~ 231 2261 (s)
[16] τι || τοι 1249 (s)
[17] οι || --- 604,1723,2441 (/)
[18] εις το συνεδριον καταγαγης τον παυλον 35[c] || ~ 564123 [7%] 35
[19] αυτον || --- 1075 (s)
[20] στρατιωτας || 1 εν οπλους 2261 (s)
[21] εβδομηκοντα || εβδηκοντα 1876 (i)

επιβιβασαντες[1] τον Παυλον διασωσωσιν προς Φηλικα[2] τον ἡγεμονα." 25 Γραψας επιστολην περιεχουσαν τον τυπον τουτον:

26 "Κλαυδιος Λυσιας, τω κρατιστω ἡγεμονι Φηλικι:[3] Χαιρειν. 27 Τον ανδρα τουτον συλληφθεντα ὑπο των[4] Ιουδαιων και μελλοντα[5] αναιρεισθαι ὑπ' αυτων· επιστας συν τω στρατευματι εξειλομην αυτον,[6] μαθων ὁτι Ῥωμαιος εστιν. 28 Βουλομενος δε γνωναι την αιτιαν δι' ἣν ενεκαλουν αυτω, κατηγαγον αυτον εις το[7] συνεδριον αυτων·[8] 29 ὃν εὑρον εγκαλουμενον περι ζητηματων του νομου αυτων, μηδεν[9] αξιον θανατου ἠ δεσμων εγκλημα εχοντα.[10] 30 Μηνυθεισης δε μοι επιβουλης εις[11] τον ανδρα μελλειν εσεσθαι ὑπο των Ιουδαιων, εξαυτης επεμψα[12] προς σε, παραγγειλας και τοις κατηγοροις λεγειν τα προς αυτον επι σου. Ερρωσο."[13]

31 Οἱ μεν ουν στρατιωται, κατα το διατεταγμενον αυτοις, αναλαβοντες[14] τον Παυλον, ηγαγον δια της νυκτος εις την Αντιπατριδα. 32 Τῃ δε επαυριον εασαντες τους ἱππεις πορευεσθαι συν αυτω, ὑπεστρεψαν εις την παρεμβολην. 33 Οἵτινες εισελθοντες εις την Καισαρειαν και αναδοντες[15] την επιστολην τω ἡγεμονι, παρεστησαν και τον Παυλον αυτω. 34 Αναγνους δε ὁ ἡγεμων και επερωτησας εκ ποιας επαρχιας εστιν και πυθομενος[16] ὁτι απο Κιλικιας. 35 "Διακουσομαι σου", εφη, "ὁταν και οἱ κατηγοροι σου παραγενωνται".[17] Εκελευσεν τε[18] αυτον εν τω πραιτωριω[19] του Ἡρωδου φυλασσεσθαι.[20]

[Caesarea]

[Felix]

24.1 Μετα δε πεντε ἡμερας κατεβη ὁ αρχιερευς Ανανιας μετα των[21] πρεσβυτερων και ῥητορος Τερτυλλου τινος, οἵτινες ενεφανισαν[22] τω ἡγεμονι κατα του Παυλου.
2 Κληθεντος δε αυτου, ηρξατο κατηγορειν ὁ Τερτυλλος λεγων: "Πολλης ειρηνης τυγχανοντες δια σου, και κατορθωματων γινομενων τω εθνει τουτω δια της σης προνοιας,

---

[1] επιβιβασαντες || επιβασαντες 204 (i)
[2] φηλικα 35[c] || φιλικα 986 || φιληκα [25%] 35,328,394,604,757,928,1040,1058,1072,1247,1248,1249,1482, 1503,1508,1548,1617,1619,1636,1637,1652,1723,1740,1746, 1749,1761,1855[c],1892,2218,2255,2352,2431,2441,2587
[3] φηλικι 35[c] || φιλικι 2218 || φιληκι [30%] 35,328,394,604,757,928,986,1040,1058,1072,1247,1248,1249, 1482,1503,1508,1548,1617,1619,1636, 1637,1652,1723,1740, 1746,1749,1761,1855[c],1892,2255,2352,2431,2441,2587
[4] των || --- 328,394,1247,1249,1508,1723,2441 (/)
[5] μελλοντα || 1 αυτον 1732 (s)
[6] αυτον 35[c] || --- [10%] 35
[7] εις το || --- 1876 (s)
[8] κατηγαγον αυτον εις το συνεδριον αυτων || --- [1%] 2441 (h)
[9] μηδεν 35[c] || 1 δε [25%] 35
[10] εγκλημα εχοντα 2218[c] || ~ 21 2218
[11] εις || προς [3%] 201
[12] επεμψα || 1 τουτον 1761 (s)
[13] ερρωσο 35[c] || ερρωσθε [25%] 35
[14] αναλαβοντες || αναγαγοντες 2261 (s)
[15] αναδοντες || αναδιδοντες 1723,2441 || επιδοντες 2261 (s)
[16] πυθομενος || πειθομενος 1247 (i)
[17] παραγενωνται || παραγενονται [20%] 1876
[18] εκελευσεν τε || 1 1508 (s) || εκελευσεται 1876 (s)
[19] πραιτωριω || πραιτοριω 2466 (i)
[20] φυλασσεσθαι || φυλαττεσθαι 1548 || φυλασεσθαι 1876 (sp)
[21] των 35[c] || --- (1.7%) 35
[22] ενεφανισαν || ενεφανησαν [20%] 328

3 παντη τε[1] και πανταχου αποδεχομεθα, κρατιστε Φηλιξ,[2] μετα πασης ευχαριστιας. 4 Ἱνα δε μη επι πλεον[3] σε εγκοπτω, παρακαλω ακουσαι σε[4] ἡμων[5] συντομως τη ση επιεικεια.[6] 5 Εὑροντες γαρ τον ανδρα τουτον λοιμον και κινουντα στασιν πασιν τοις Ιουδαιοις τοις[7] κατα την οικουμενην, πρωτοστατην τε της[8] των Ναζωραιων αἱρεσεως, 6 ὃς και το ἱερον επειρασεν[9] βεβηλωσαι· ὃν και[10] εκρατησαμεν·[11] 8 παρ' οὗ δυνηση, αυτος ανακρινας, περι παντων τουτων επιγνωναι ὧν ἡμεις κατηγορουμεν αυτου." 9 Συνεπεθεντο δε[12] και οἱ Ιουδαιοι, φασκοντες ταυτα οὑτως εχειν.

10 Απεκριθη δε ὁ Παυλος, νευσαντος αυτω του ἡγεμονος, λεγειν: "Εκ πολλων ετων[13] οντα σε κριτην δικαιον[14] τω εθνει τουτω επισταμενος, ευθυμοτερον τα περι εμαυτου απολογουμαι,11 δυναμενου σου γνωναι[15] ὁτι ου πλειους εισιν μοι[16] ἡμεραι[17] δεκαδυο, αφ' ἡ ς ανεβην προσκυνησων εν[18] Ἱερουσαλημ. 12 Και ουτε εν τω ἱερω εὑρον με προς τινα[19] διαλεγομενον ἠ επισυστασιν ποιουντα οχλου, ουτε εν ταις συναγωγαις, ουτε κατα την πολιν. 13 Ουτε παραστησαι[20] δυνανται[21] περι ὧν νυν[22] κατηγορουσιν μου. 14 Ὁμολογω δε τουτο σοι, ὁτι κατα την ὁδον ἣν λεγουσιν αἱρεσιν, οὑτως λατρευω τω πατρωω Θεω, πιστευων πασιν τοις κατα τον Νομον και[23] τοις[24] Προφηταις[25] γεγραμμενοις, 15 ελπιδα εχων εις[26] τον[27] Θεον, ἣν και αυτοι οὑτοι προσδεχονται, αναστασιν μελλειν εσεσθαι νεκρων, δικαιων τε και αδικων. 16 Εν τουτω δε[28] αυτος[29] ασκω, απροσκοπον συνειδησιν εχων προς τε[30] τον Θεον και τους ανθρωπους δια παντος. 17 Δι' ετων δε πλειονων

---

[1] παντη τε || παντοτε 386 (i)
[2] φηλιξ 35[c] || φιληξ [35%] 35,328,394,444,604,928,986,1040,1058,1072,1247,1248,1249,1482,1503,1508 1548,1617,1619,1636,1637,1652,1723,1740,1746, 1749,1761,1855[c],1892,2255, 2352,2431,2441,2587
[3] πλεον || πλειον [79%] 444,1636
[4] σε || τε 1248 (s)
[5] ημων || --- 801 (s)
[6] επιεικεια || επιεικια 1876 (i)
[7] τοις || την 1548 (i)
[8] της || τοις 1247 (s)
[9] επειρασεν || επειρασαι 2218 (s)
[10] και || --- 1723,2441 (/)
[11] lack verse 7 35[c] || have verse 7 [40%] 35,1249[m],2261[c] (these agree with the main variant),1761 (variant 28),1876, 2080 (variant 22+),801,1892[m] (variant 22-)
[12] δε || --- 1865 (s)
[13] ετων 1740[c] || --- 1740
[14] δικαιον || --- [70%] 1761
[15] γνωναι || επιγνωναι [7%] 2080
[16] μοι || μου 801 (i)
[17] ημεραι || ημερας 141 (s)
[18] εν || εις [25%] 1247,1761
[19] προς τινα || --- 1058 (s)
[20] παραστησαι || 1 μοι 444 || 1 με 2261
[21] δυνανται || 1 σοι [7%] 1761,2080
[22] νυν || νυνι [7%] 1761,2080 || --- [5%] 1636,1637,1740
[23] και 35[c] || 1 εν [1%] 35
[24] τοις || τους [5%] 1897 || --- 394 (s)
[25] και τοις προφηταις || ~ 312 1732 (s)
[26] εις || προς 1761 (s)
[27] τον || --- 1247 (s)
[28] δε || 1 και [12%] 444,1508 || και [10%] 1761
[29] αυτος || --- 394 (s)
[30] τε || --- [40%] 444,1761

παρεγενομην ελεημοσυνας ποιησων εις το εθνος μου και προσφορας, 18 εν οἷς[1] εὑρον με ἡγνισμενον[2] εν τω ἱερω, ου μετα οχλου ουδε μετα θορυβου, τινες[3] απο της Ασιας Ιουδαιοι· 19 οὓς εδει επι σου παρειναι και κατηγορειν ει τι εχοιεν[4] προς με. 20 Ἢ αυτοι οὑτοι ειπατωσαν τί εὑρον εν εμοι αδικημα, σταντος μου επι του συνεδριου, 21 ἠ περι μιας ταυτης φωνης ἧς εκραξα,[5] ἑστως εν αυτοις, ὁτι Περι αναστασεως νεκρων εγω κρινομαι σημερον ὑφ' ὑμων'."

22 Ακουσας δε ταυτα ὁ Φηλιξ[6] ανεβαλετο αυτους,[7] ακριβεστερον ειδως τα περι της Ὁδου, ειπων, "Ὁταν Λυσιας ὁ χιλιαρχος καταβη διαγνωσομαι τα καθ' ὑμας"·
23 διαταξαμενος τε τω ἑκατονταρχη[8] τηρεισθαι τον Παυλον, εχειν τε ανεσιν, και μηδενα κωλυειν των ιδιων αυτου ὑπηρετειν ἠ προσερχεσθαι αυτω.

24 Μετα δε ἡμερας τινας, παραγενομενος ὁ Φηλιξ συν Δρουσιλλη τη[9] γυναικι,[10] ουση Ιουδαια, μετεπεμψατο τον Παυλον και ηκουσεν αυτου περι της εις Χριστον Ιησουν πιστεως. 25 Διαλεγομενου δε αυτου περι δικαιοσυνης και εγκρατειας και του κριματος του μελλοντος εσεσθαι, εμφοβος γενομενος ὁ Φηλιξ απεκριθη, "Το νυν εχον[11] πορευου· καιρον δε μεταλαβων[12] μετακαλεσομαι σε". 26 Ἁμα και[13] ελπιζων ὁτι χρηματα δοθησεται αυτω ὑπο του Παυλου, ὁπως λυση[14] αυτον· διο και πυκνοτερον[15] μεταπεμπομενος ὡμιλει αυτω.

27 Διετιας[16] δε πληρωθεισης, ελαβεν διαδοχον ὁ Φηλιξ Πορκιον Φηστον· θελων δε χαριτας καταθεσθαι τοις Ιουδαιοις, ὁ Φηλιξ κατελιπεν τον Παυλον δεδεμενον.

[Festus]

25.1 Φηστος ουν επιβας τη επαρχια, μετα τρεις ἡμερας ανεβη εις Ἱεροσολυμα απο Καισαρειας. 2 Ενεφανισαν[17] δε αυτω οἱ αρχιερεις[18] και οἱ πρωτοι των Ιουδαιων κατα του Παυλου, και παρεκαλουν αυτον,[19] 3 αιτουμενοι χαριν κατ' αυτου[20] ὁπως μεταπεμψηται αυτον εις Ἱερουσαλημ[21]—ενεδραν ποιουντες ανελειν αυτον κατα την ὁδον. 4 Ὁ μεν ουν Φηστος απεκριθη τηρεισθαι τον Παυλον εν Καισαρεια, ἑαυτον δε μελλειν εν ταχει εκπορευεσθαι. 5 "Οἱ ουν δυνατοι εν ὑμιν", φησιν, "συγκαταβαντες, ει τι εστιν[22] εν τω

---

[1] οις || αις [10%] 1761
[2] ηγνισμενον || αγνισμενον 444 (s)
[3] τινες 35[c] || 1 των [2%] 35,1892
[4] εχοιεν || εχειεν 2378 (i)
[5] εκραξα || εκεκραξα [20%] 386,1628,2080,2261
[6] φηλιξ 35[c] || φιληξ [32%] 35,328,394,444,604,928,986,1040,1058,1072,1247,1248,1249,1482,1503,1508,1548, 1617,1619,1636,1637,1652,1723,1740,1746,1749,1761,1855[c],1892,2255,2352,2431, 2441,2587 (five times)
[7] ακουσας δε ταυτα ο φηλιξ ανεβαλετο αυτους 35[c] || ~ 62745 (4.9%) 35
[8] εκατονταρχη 444[c] || εκατονταρχω 444 (s)
[9] τη || 1 ιδια [3%] 2080
[10] γυναικι || 1 αυτου [8%] 141
[11] εχον || εχων [14%] 1876,2218
[12] μεταλαβων 2261[c] || λαβων [10%] 386,2261
[13] αμα και || ~ 21 2466 (s)
[14] λυση 1855[c] || απολυση 444,986,1482,1855,2080
[15] πυκνοτερον || 1 αυτον [75%] 444,1761[c],2261
[16] διετιας || διετειας 2441 (sp)
[17] ενεφανισαν || ενεφανησαν [6%] 1617 || ενεφανισεαν 2261 (s)
[18] αρχιερεις 2261[c] || αρχιερευς [60%] 2261
[19] και παρεκαλουν αυτον || --- 444 (s)
[20] χαριν κατ αυτου 1075[c] || ~ 231 1075
[21] 2378 is missing 25:3 – 16.
[22] εστιν || 1 ατοπον 2080 (s)

ανδρι τουτω,[1] κατηγορειτωσαν[2] αυτου". 6 Διατριψας δε εν αυτοις ἡμερας πλειους[3] ἠ δεκα, καταβας[4] εις Καισαρειαν· τη επαυριον καθισας επι του βηματος εκελευσεν τον Παυλον αχθηναι. 7 Παραγενομενου δε αυτου, περιεστησαν οἱ απο Ἰεροσολυμων καταβεβηκοτες[5] Ιουδαιοι, πολλα και βαρεα αιτιαματα[6] φεροντες κατα του Παυλου ἃ ουκ ισχυον αποδειξαι, 8 απολογουμενου αυτου ὁτι "Ουτε εις τον νομον των Ιουδαιων ουτε εις[7] το ἱερον ουτε εις Καισαρα τι ἡμαρτον". 9 Ὁ[8] Φηστος δε, τοις Ιουδαιοις θελων χαριν καταθεσθαι, αποκριθεις τω Παυλω ειπεν, "Θελεις εις Ἰεροσολυμα αναβας, εκει περι τουτων κρινεσθαι ὑπ'[9] εμου?" 10 Ειπεν δε ὁ Παυλος: "Επι του βηματος Καισαρος ἑστως ειμι, οὗ με δει κρινεσθαι. Ιουδαιους ουδεν ηδικησα, ὡς και συ καλλιον επιγινωσκεις.[10] 11 Ει μεν γαρ αδικω και αξιον θανατου πεπραχα τι,[11] ου παραιτουμαι το[12] αποθανειν· ει δε ουδεν εστιν ὧ ν οὑτοι κατηγορουσιν μου, ουδεις με[13] δυναται αυτοις χαρισασθαι. Καισαρα επικαλουμαι!" 12 Τοτε ὁ Φηστος, συλλαλησας μετα του συμβουλιου απεκριθη: "Καισαρα επικεκλησαι. Επι Καισαρα πορευση!"

[Agrippa]

13 Ἡμερων δε διαγενομενων τινων, Αγριππας ὁ βασιλευς και Βερνικη κατηντησαν εις Καισαρειαν ασπασομενοι[14] τον Φηστον. 14 Ὡς δε πλειους ἡμερας διετριβον εκει, ὁ Φηστος τω βασιλει ανεθετο τα κατα τον Παυλον λεγων: "Ανηρ τις εστιν καταλελειμμενος ὑπο Φηλικος[15] δεσμιος, 15 περι οὗ, γενομενου μου[16] εις Ἰεροσολυμα, ενεφανισαν οἱ αρχιερεις και οἱ πρεσβυτεροι των Ιουδαιων, αιτουμενοι κατ' αυτου δικην· 16 προς οὓς απεκριθην ὁτι ουκ εστιν εθος Ῥωμαιοις χαριζεσθαι τινα ανθρωπον εις απωλειαν πριν ἠ ὁ κατηγορουμενος κατα προσωπον εχοι[17] τους κατηγορους, τοπον τε[18] απολογιας λαβοι[19] περι του εγκληματος. 17 Συνελθοντων ουν αυτων[20] ενθαδε, αναβολην μηδεμιαν ποιησαμενος, τη ἑξης καθισας επι του βηματος, εκελευσα[21] αχθηναι τον ανδρα· 18 περι οὗ σταθεντες οἱ κατηγοροι ουδεμιαν αιτιαν επεφερον[22] ὧν ὑπενοουν εγω, 19 ζητηματα δε τινα περι της ιδιας δεισιδαιμονιας ειχον προς αυτον, και περι τινος Ιησου τεθνηκοτος ὃν εφασκεν ὁ Παυλος ζην. 20 Απορουμενος δε εγω περι την[23] τουτων[24] ζητησιν, ελεγον ει βουλοιτο

---

[1] τουτω || 1 ατοπον (13.3%) 2261
[2] κατηγορειτωσαν || κατηγορητωσαν 328,2218 (/)
[3] πλειους || πλειονας 328 (s)
[4] καταβας || κακαταβας 1617 (from one page to the next)
[5] καταβεβηκοτες || 1 οι 2554 (s)
[6] αιτιαματα || αιτηαματα 201 (s) || αιτιασματα 2218 (i)
[7] 1248 omits τον νομον των Ιουδαιων ουτε εις (h)
[8] ο || --- 444 (s)
[9] υπ || επ [63%] 2080
[10] επιγινωσκεις || γινωσκεις 1897 (s)
[11] θανατου πεπραχα τι 1617c || ~ 231 1617
[12] το 141c || του [35%] 141,801,1617,1723,1876,2255,2261,2441 || --- 1725
[13] με || μου 1617 || --- 1892
[14] ασπασομενοι || ασπασαμενοι [70%] 824,1749
[15] φηλικος 35c || φιληκος [37%] 35,328,394,444,604,928,986,1040,1058,1072,1247,1248,1249,1482,1503,1508, 1617,1619,1636,1637,1652,1723,1740,1749,1761,1892,2255,2352,2431,2441,2587
[16] μου || --- 801,1865,2723 (/) (homoioteleuton)
[17] εχοι || εχει 2218,2261 (/)
[18] τε || --- 2218 (s)
[19] λαβοι || λαβη 444 (s)
[20] αυτων || --- 2431 (s)
[21] εκελευσα || εκελευσεν 1617 (s)
[22] επεφερον || υπεφερον [5%] 2218
[23] περι την || ~ 21 [80%] 1892
[24] περι την τουτων || 2 τουτου 2261 || 212 τουτου 2261c [65% have τουτου]

πορευεσθαι εις Ἰερουσαλημ κακει κρινεσθαι περι τουτων. 21 Του δε Παυλου επικαλεσαμενου τηρηθηναι αυτον εις την του Σεβαστου διαγνωσιν, εκελευσα τηρεισθαι αυτον ἑως οὗ πεμψω αυτον[1] προς[2] Καισαρα."

22 Αγριππας δε προς τον Φηστον εφη, "Εβουλομην και αυτος του ανθρωπου ακουσαι". Ὁ δε, "Αυριον", φησιν,[3] "ακουση αυτου". 23 Τῃ ουν[4] επαυριον,[5,6] ελθοντος του Αγριππα και της Βερνικης μετα πολλης φαντασιας και εισελθοντων εις το ακροατηριον,[7] συν τε τοις χιλιαρχοις και ανδρασιν τοις κατ' εξοχην ουσιν της πολεως, και[8] κελευσαντος του Φηστου, ηχθη[9] ὁ Παυλος. 24 Και φησιν ὁ Φηστος: "Αγριππα βασιλευ, και παντες οἱ συμπαροντες ἡμιν ανδρες: θεωρειτε τουτον, περι οὗ[10] παν το πληθος των Ιουδαιων ενετυχον μοι, εν τε Ἰεροσολυμοις και ενθαδε, επιβοωντες[11] μη δειν ζην αυτον[12] μηκετι. 25 Εγω δε καταλαβομενος μηδεν αξιον θανατου αυτον πεπραχεναι, και αυτου δε τουτου επικαλεσαμενου[13] τον Σεβαστον, εκρινα πεμπειν αυτον. 26 Περι οὗ ασφαλες τι γραψαι τω κυριω ουκ εχω. Διο προηγαγον αυτον εφ' ὑμων, και μαλιστα επι σου, Βασιλευ Αγριππα, ὁπως της ανακρισεως γενομενης[14] σχω τι γραψαι. 27 Αλογον γαρ μοι δοκει πεμποντα δεσμιον, μη και τας κατ' αυτου αιτιας σημαναι."

[Paul's defense]

26.1 Αγριππας δε[15] προς τον Παυλον εφη, "Ἐπιτρεπεται σοι[16] ὑπερ σεαυτου λεγειν". Τοτε[17] ὁ Παυλος απελογειτο, εκτεινας την χειρα:[18] 2 "Περι παντων ὡν εγκαλουμαι ὑπο[19] Ιουδαιων, Βασιλευ Αγριππα, ἡγημαι εμαυτον μακαριον επι σου μελλων απολογεισθαι σημερον, 3 μαλιστα γνωστην οντα σε παντων των κατα Ιουδαιους εθων τε και ζητηματων·[20] διο δεομαι σου μακροθυμως ακουσαι μου. 4 Την μεν ουν βιωσιν μου την εκ νεοτητος, την απ' αρχης γενομενην εν τω εθνει μου εν Ἰεροσολυμοις,[21] ισασιν παντες οἱ[22] Ιουδαιοι, 5 προγινωσκοντες με ανωθεν, εαν θελωσιν[23] μαρτυρειν, ὁτι κατα την ακριβεστατην αἱρεσιν της ἡμετερας θρησκειας[24] εζησα Φαρισαιος. 6 Και νυν επ' ελπιδι της προς τους πατερας[25] επαγγελιας γενομενης ὑπο του Θεου ἑστηκα κρινομενος, 7 εις ἣν το

---

[1] αυτον || --- 444 (s)
[2] προς || εις 2080 (s)
[3] φησιν || --- 1897 (s)
[4] τη ουν || τηγουν 801 (i)
[5] 1248 omits φησιν ακουση αυτου τη ουν επαυριον (h)
[6] ουν επαυριον || ~ 21 328 (s)
[7] ακροατηριον || ακρωατηριον 2466 (i)
[8] και || --- 1892 (s)
[9] ηχθη || 1 και 386 (s)
[10] ου || τουτου 2080 (s)
[11] επιβοωντες 1140c || --- 1140
[12] ζην αυτον || ~ 21 [15%] 394,928,1249,1723,2441
[13] επικαλεσαμενου 35c || επικαλουμενου [1%] 35
[14] γενομενης || γινομενης [24%] 2261
[15] δε || 1 ο βασιλευς 2080 (s)
[16] σοι || σε 1075 (s)
[17] τοτε || το 2466 (s)
[18] απελογειτο εκτεινας την χειρα 2261c || ~ 2341 [5%] 2261
[19] υπο || 1 των 1725
[20] ζητηματων || 1 επισταμενος [20%] 328,394,928,986,1247,1249,1482,1508,1723,1749,1855c,2255,2441
[21] ιεροσολυμοις || ιερουσαλημ 444 (s)
[22] οι || --- [25%] 2378
[23] θελωσιν || εθελωσιν 2466 || 1 μοι 2080
[24] θρησκειας || θρησκιας 2378 (sp)
[25] πατερας 35c || 1 ημων [22%] 35

δωδεκαφυλον ἡμων, εν εκτενια[1,2] νυκτα και ἡμεραν[3] λατρευον, ελπιζει καταντησαι. Περι ἧ ς ελπιδος εγκαλουμαι, Βασιλευ Αγριππα, ὑπο Ιουδαιων. 8 Τί απιστον κρινεται παρ' ὑμιν ει ὁ Θεος νεκρους εγειρει?

[how he persecuted Christians]

9 ‘Εγω μεν ουν εδοξα εμαυτω προς το ονομα Ιησου του Ναζωραιου δειν πολλα εναντια πραξαι· 10 ὃ και εποιησα εν Ἰεροσολυμοις, και πολλους των ἁγιων εγω φυλακαις[4] κατεκλεισα, την παρα[5] των αρχιερεων εξουσιαν λαβων· αναιρουμενων τε αυτων κατηνεγκα ψηφον. 11 Και κατα πασας τας συναγωγας πολλακις τιμωρων[6] αυτους, ηναγκαζον βλασφημειν· περισσως τε εμμαινομενος[7] αυτοις, εδιωκον ἑως και εις[8] τας[9] εξω πολεις.

[how Jesus chose him]

12 ‘Εν οἷς και πορευομενος[10] εις[11] Δαμασκον μετ'[12] εξουσιας και επιτροπης της παρα των αρχιερεων, 13 ἡμερας μεσης[13] κατα την ὁδον ειδον, βασιλευ,[14] ουρανοθεν ὑπερ την λαμπροτητα του ἡλιου, περιλαμψαν[15] με φως και τους συν εμοι πορευομενους. 14 Παντων δε καταπεσοντων ἡμων εις την γην, ηκουσα φωνην λαλουσαν προς με και λεγουσαν τη Ἑβραιδι διαλεκτω: ‘Σαουλ, Σαουλ, τί με διωκεις? Σκληρον σοι προς κεντρα λακτιζειν.' 15 Εγω δε ειπον,‘Τίς εἶ, Κυριε?' Ὁ δε ειπεν: Ἐγω ειμι Ιησους, ὃν συ διωκεις. 16 Αλλα αναστηθι και στηθι επι τους ποδας σου· εις τουτο γαρ ωφθην σοι, προχειρισασθαι σε ὑphrethn και μαρτυρα ὧν τε ειδες ὧν τε οφθησομαι[16] σοι,[17] 17 εξαιρουμενος σε εκ του λαου[18] και[19] των εθνων, εις οὓς εγω σε αποστελλω:[20] 18 ανοιξαι οφθαλμους αυτων, του επιστρεψαι[21] απο σκοτους εις φως και της εξουσιας του Σατανα επι τον Θεον, του λαβειν αυτους αφεσιν ἁμαρτιων και κληρον εν τοις ἡγιασμενοις, πιστει τη εις εμε.' 19 Ὁθεν, Βασιλευ Αγριππα, ουκ εγενομην απειθης[22] τη ουρανιω οπτασια 20— αλλα τοις εν Δαμασκω πρωτον και[23] Ἰεροσολυμοις, εις πασαν τε την χωραν της Ιουδαιας και τοις εθνεσιν, απαγγελλω:[24] ‘μετανοειν και επιστρεφειν επι τον Θεον, αξια της

---

[1] εκτενια || εκτενεια [31%] 141c,757,986,1761,1855,2080,2261 (sp)
[2] εν εκτενια || --- 2218 (s)
[3] ημεραν || ημερα 824 (s)
[4] εγω φυλακαις || ~ 21 2352 (s)
[5] 986 is missing 26:10-18.
[6] τιμωρων || τιμωρουμενος 2261 (s)
[7] εμμαινομενος || εμμενομενος 1732 (s)
[8] εις || --- 1247 (s)
[9] τας || --- 1140 (s)
[10] πορευομενος || πορευμενος 1725
[11] εις || 1 την [75%] 444
[12] μετ || μετα 1865 (s)
[13] μεσης 35c || μεσουσης [1%] 35
[14] βασιλευ || 1 αγριππα 2261 (s)
[15] περιλαμψαν || περιαστραψαν 2080 (s)
[16] οφθησομαι || ωφθησομαι 201 (s)
[17] σοι || --- 801 (s)
[18] λαου || 1 των ιουδαιων 2261 (s)
[19] και || 1 εκ [6%] 1740,2352
[20] αποστελλω || αποστελω [44%] 604,2080,2261
[21] επιστεψαι || αποστρεψαι [35%] 1040,1892,2218,2352,2378
[22] απειθης 2218c || απειθεις 2218
[23] και || 1 εν 444 (s)
[24] απαγγελλω 1723c || απαγγελω 1723

μετανοιας εργα πρασσοντας'. 21 Ἑνεκα τουτων[1] με[2] οἱ[3] Ιουδαιοι συλλαβομενοι εν τω ἱερω επειρωντο διαχειρισασθαι. 22 Επικουριας ουν τυχων της παρα του Θεου, αχρι της ἡμερας ταυτης ἑστηκα μαρτυρομενος μικρω τε και μεγαλω, ουδεν εκτος λεγων[4] ὧν τε οἱ προφηται ελαλησαν μελλοντων γινεσθαι και Μωυσης[5] 23—ει παθητος ὁ Χριστος· ει πρωτος εξ αναστασεως νεκρων φως μελλει[6] καταγγελλειν τω τε[7] λαω και τοις εθνεσιν."

[Festus interrupts]

24 Ταυτα δε αυτου απολογουμενου, ὁ Φηστος μεγαλη τη φωνη εφη: "Μαινη, Παυλε! Τα πολλα σε γραμματα εις μανιαν[8] περιτρεπει!" 25 Ὁ δε: "Ου μαινομαι", φησιν, "κρατιστε Φηστε· αλλα αληθειας και σωφροσυνης ῥηματα αποφθεγγομαι. 26 Επισταται γαρ περι τουτων ὁ βασιλευς, προς ὃν και[9] παρρησιαζομενος λαλω· λανθανειν γαρ αυτον τι τουτων ου πειθομαι[10] ουδεν, ου[11] γαρ[12] εν γωνια[13] πεπραγμενον τουτο.[14] 27 Πιστευεις, Βασιλευ Αγριππα, τοις προφηταις? Οιδα ὁτι πιστευεις." 28 Ὁ δε Αγριππας προς τον Παυλον εφη, "Εν ολιγω με πειθεις[15,16] χριστιανον γενεσθαι!" 29 Ὁ δε Παυλος ειπεν, "Ευξαιμην[17] αν τω Θεω, και εν ολιγω και εν πολλω, ου μονον σε αλλα και παντας τους[18] ακουοντας μου σημερον γενεσθαι τοιουτους ὁποιος καγω ειμι, παρεκτος των δεσμων τουτων."

30 Και ταυτα ειποντος[19] αυτου,[20] ανεστη[21] ὁ βασιλευς, και ὁ ἡγεμων ἥ τε Βερνικη, και[22] οἱ συγκαθημενοι αυτοις· 31 και αναχωρησαντες ελαλουν προς αλληλους, λεγοντες ὁτι[23] "Ουδεν θανατου αξιον ἠ δεσμων πρασσει ὁ ανθρωπος οὑτος". 32 Αγριππας δε τω Φηστω εφη, "Απολελυσθαι[24] εδυνατο[25] ὁ ανθρωπος οὑτος, ει μη επεκεκλητο Καισαρα".

[Paul sent to Rome]

27.1 Ὡς δε εκριθη του αποπλειν ἡμας εις την Ιταλιαν, παρεδιδουν τον τε Παυλον και τινας ἑτερους δεσμωτας ἑκατονταρχη ονοματι Ιουλιω, σπειρας[26] Σεβαστης. 2 Επιβαντες

---

[1] τουτων || τουτου 444 (s)
[2] με || δε 1876 (s)
[3] οι || --- [5%] 1100
[4] λεγων || λεγω 1723,2441 (/)
[5] μωυσης || μωσης [13%] 444
[6] μελλει || μελλειν [18%] 2218
[7] τε || --- [40%] 444
[8] μανιαν || μανειαν 2378 (sp)
[9] και || --- 1740 (s)
[10] πειθομαι || πιθομαι 1858[v] (i)
[11] ου || ουδε [15%] 2080
[12] γαρ 35[c] || 1 εστιν [25%] 35,444,2261
[13] γωνια || γονια 1617 (s)
[14] τουτο || 1 εστιν 801,2080
[15] με πειθεις || ~ 21 1892 (s)
[16] πειθεις || πιθεις 2378 (i)
[17] ευξαιμην || ευξαμην [40%] 18,35,386,1058,1100,1247,1865,2466,2587,2723
[18] τους || τας 2723 (s)
[19] ειποντος || ειπωντος 2378[c]
[20] και ταυτα ειποντος αυτου 35[c] || --- [5%] 35
[21] ανεστη 35[c] || 1 δε [2%] 35
[22] και || 1 παντες 2080 (s)
[23] οτι || --- 328 (s)
[24] απολελυσθαι || απολυεσθαι 2218 (s)
[25] εδυνατο || ηδυνατο [20%] 2080
[26] σπειρας || σπειρης [65%] 328

δε πλοιω[1] Ατραμυτινω,[2] μελλοντες[3] πλειν[4] τους κατα την Ασιαν τοπους, ανηχθημεν·
οντος[5] συν ἡμιν Αρισταρχου, Μακεδονος Θεσσαλονικεως.[6] 3 Τη τε ἑτερα κατηχθημεν εις
Σιδωνα· φιλανθρωπως τε ὁ Ιουλιος τω Παυλω χρησαμενος επετρεψεν προς τους φιλους
πορευθεντα επιμελειας τυχειν. 4 Κακειθεν αναχθεντες, ὑπεπλευσαμεν[7] την Κυπρον, δια το
τους ανεμους ειναι εναντιους. 5 Το τε πελαγος το κατα την Κιλικιαν[8] και Παμφυλιαν[9]
διαπλευσαντες, κατηχθημεν[10] εις Μυρα της Λυκιας. 6 Κακει εὑρων ὁ ἑκατονταρχος πλοιον
Αλεξανδρινον[11] πλεον εις Ιταλιαν, ενεβιβασεν ἡμας εις αυτο. 7 Εν ἱκαναις δε ἡμεραις
βραδυπλοουντες και μολις γενομενοι κατα την Κνιδον, μη προσεωντος ἡμας του ανεμου,
ὑπεπλευσαμεν την Κρητην κατα Σαλμωνην· 8 μολις τε παραλεγομενοι αυτην ηλθομεν εις
τοπον τινα καλουμενον Καλους Λιμενας, ᾧ εγγυς ἦν πολις Λασαια.[12]

[A difference of opinion]

9 Ἱκανου δε χρονου διαγενομενου και οντος ηδη επισφαλους του πλοος, δια το και
την Νηστειαν ηδη[13] παρεληλυθεναι· παρηνει ὁ Παυλος 10 λεγων αυτοις, "Ανδρες, θεωρω
ὁτι μετα ὑβρεως και πολλης ζημιας, ου μονον του φορτου[14] και του πλοιου αλλα και των
ψυχων ἡμων, μελλειν εσεσθαι τον πλουν". 11 Ὁ δε ἑκατονταρχος[15] τω κυβερνητη[16] και τω
ναυκληρω επειθετο μαλλον ἠ τοις ὑπο του Παυλου[17] λεγομενοις. 12 Ανευθετου δε του
λιμενος ὑπαρχοντος προς παραχειμασιαν, οἱ πλειους[18] εθεντο βουλην αναχθηναι εκειθεν, ει
πως δυναιντο καταντησαντες εις Φοινικα παραχειμασαι, λιμενα της Κρητης βλεποντα κατα
λιβα[19] και κατα χωρον.

[The storm]

13 Ὑποπνευσαντος δε νοτου, δοξαντες της προθεσεως κεκρατηκεναι, αραντες[20]
ασσον[21] παρελεγοντο[22] την Κρητην. 14 Μετ' ου πολυ δε, εβαλεν κατ' αυτης ανεμος
τυφωνικος (ὁ καλουμενος Ευροκλυδων). 15 Συναρπασθεντος[23] δε του πλοιου, και μη
δυναμενου αντοφθαλμειν τω ανεμω, επιδοντες εφερομεθα. 16 Νησιον[24] δε τι ὑποδραμοντες
καλουμενον[25] Κλαυδην, μολις ισχυσαμεν περικρατεις γενεσθαι της σκαφης· 17 ἣν αραντες,

---

[1] πλοιω || πλειω 328 (i)
[2] ατραμυτινω || ατραμμυτινω 328,394,928,986,1058,1247,1249,1482,1508,1548,1749,1855,1856,2255,2587 || ατραμυττηνω 2218 (i) || ατραμυττινω [6%] 604,1723,2441 (sp)
[3] μελλοντες 35c || μελλοντι [16%] 35,141c,1548,2587
[4] πλειν || αποπλειν 149,201 (/)
[5] οντος || οντως 2261 (s)
[6] θεσσαλονικεως || θεσσαλονικεος 1897 (i)
[7] 2441 is missing 27:4 – 19.
[8] κιλικιαν || λυκιαν 328 (s)
[9] παμφυλιαν || παφιλιαν 604 (s)
[10] κατηχθημεν 35c || κατηλθομεν [75%] 35
[11] αλεξανδρινον || αλεξανδρηνον [22%] 1761 (sp)
[12] λασαια || λασια 1249 || λασεα 1247
[13] ηδη || ηδει 328 (i)
[14] φορτου || φορτιου [78%] 1732
[15] εκατονταρχος 35c || εκατονταρχης [50%] 35
[16] κυβερνητη || κυβερνιτη 1617,1628 (/)
[17] παυλου || πλαυλου 1876 (i)
[18] πλειους || πλειονες [4%] 2218
[19] λιβα || λιβαν 801 (sp)
[20] αραντες || 1 την 204 (s)
[21] ασσον || ασον 1876 (i)
[22] παρελεγοντο || παρελεγομεν 2218 (s)
[23] συναρπασθεντος || συναρσπασθεντος 1856 (s)
[24] νησιον || νησιδιον 1732 (s)
[25] καλουμενον || καλουμενος 18 (s)

βοηθειαις εχρωντο, ὑποζωννυντες[1] το πλοιον· φοβουμενοι τε μη εις την Συρτιν[2] εκπεσωσιν,[3] χαλασαντες το σκευος,[4] οὑτως[5] εφεροντο. 18 Σφοδρως δε χειμαζομενων ἡμων, τη ἑξης εκβοληην εποιουντο, 19 και τη τριτη αυτοχειρες την σκευην του πλοιου ερριψαμεν. 20 Μητε δε ἡλιου μητε αστρων επιφαινοντων επι πλειονας ἡμερας, χειμωνος τε ουκ ολιγου επικειμενου, λοιπον περιηρειτο πασα[6] ελπις του σωζεσθαι ἡμας.

21 Πολλης δε ασιτιας[7] ὑπαρχουσης, τοτε σταθεις ὁ Παυλος[8] εν μεσω αυτων[9] ειπεν: "Εδει μεν, ω ανδρες, πειθαρχησαντας μοι μη αναγεσθαι απο της Κρητης,[10] κερδησαι τε την ὑβριν ταυτην και την ζημιαν.[11] 22 Και τα νυν παραινω ὑμας ευθυμειν, αποβολη γαρ ψυχης ουδεμια εσται εξ ὑμων, πλην του πλοιου. 23 Παρεστη γαρ μοι ταυτη τη νυκτι αγγελος του Θεου οὗ ειμι, ᾧ και λατρευω, 24 λεγων, 'Μη φοβου, Παυλε· Καισαρι σε δει παραστηναι. Και ιδου, κεχαρισται σοι ὁ Θεος παντας τους πλεοντας[12] μετα σου.' 25 Διο ευθυμειτε, ανδρες· πιστευω γαρ τω Θεω ὁτι οὑτως εσται καθ' ὃν τροπον λελαληται μοι. 26 Εις νησον δε τινα δει[13] ἡμας[14] εκπεσειν."

27 Ὡς δε τεσσαρεσκαιδεκατη[15] νυξ εγενετο, διαφερομενων ἡμων εν τω Αδρια, κατα μεσον της νυκτος ὑπενοουν οἱ ναυται προσαγειν τινα αυτοις χωραν. 28 Και βολισαντες[16] εὑρον οργυιας[17] εικοσι· βραχυ δε διαστησαντες,[18] και παλιν[19] βολισαντες,[20] εὑρον οργυιας[21] δεκαπεντε·[22] 29 φοβουμενοι τε μηπως εις τραχεις[23] τοπους εκπεσωμεν, εκ πρυμνης[24] ῥιψαντες[25] αγκυρας τεσσαρας, ηυχοντο ἡμεραν γενεσθαι. 30 Των δε ναυτων ζητουντων φυγειν εκ του πλοιου[26] και χαλασαντων την σκαφην εις την θαλασσαν, προφασει ὡς εκ πρωρας μελλοντων αγκυρας εκτεινειν· 31 ειπεν ὁ Παυλος τω ἑκατονταρχη[27] και τοις στρατιωταις, "Εαν μη οὑτοι εν τω πλοιω μεινωσιν,[28] ὑμεις σωθηναι ου δυνασθε". 32 Τοτε οἱ στρατιωται απεκοψαν τα σχοινια της σκαφης και ειασαν αυτην εκπεσειν.

---

[1] υποζωννυντες || υποζωνυντες 757,2218 (sp)
[2] συρτιν 1732c || συρτην [55%] 824,1732,2352,2378 (sp)
[3] εκπεσωσιν || εκπεσουσιν 2378 (s)
[4] το σκευος || τα ιστια 1247 (s)
[5] το σκευος ουτως 35c || 35 erased something and re-wrote correctly
[6] πασα || 1 η 2218 (s)
[7] ασιτιας 141c || ασιτειας 141
[8] σταθεις ο παυλος || ~ 231 444,2261 (/)
[9] αυτων || --- 1761 (s)
[10] κρητης || κριτης 141 (s)
[11] ζημιαν || ζυμιαν 2352 (s)
[12] πλεοντας || συνπλεοντας 1892 (s)
[13] δει || --- 986 (s)
[14] ημας 1140c || υμας 444,1140 (/)
[15] τεσσαρεσκαιδεκατη || τεσσαρεσκεδεκατη 1876 (s)
[16] βολισαντες || βοληαντες 22612x
[17] οργυιας || οργυας [5%] 22182x
[18] διαστησαντες || διαστησαντες 201 (s)
[19] βραχυ δε διαστησαντες και παλιν || ~ 45134 2218 (s)
[20] και παλιν βολισαντες 141m || --- 141
[21] 1628 omits οργυιας εικοσι βραχυ δε διαστησαντες και παλιν βολισαντες εὑρον οργυιας (h)
[22] και παλιν βολισαντες ευρον οργυιας δεκαπεντε || 45 τε 1247 (s)
[23] 1548 has a whole line erased and re-written correctly in a cramped hand; he may have omitted the material between the two οργυιας [homoioteleuton] but then caught himself.
[24] πρυμνης || πρυμνας 1100 (s)
[25] ριψαντες || ρυψαντες 1617 (s)
[26] ζητουντων φυγειν εκ του πλοιου || ~ 23451 2466 (s)
[27] εκατονταρχη || εκατοταρχη 1617 (i)
[28] εν τω πλοιω μεινωσιν || ~ 4123 [75%] 444,2261

33 Αχρι δε οὗ εμελλεν[1] ἡμερα γινεσθαι, παρεκαλει ὁ Παυλος ἁπαντας μεταλαβειν τροφης, λεγων:[2] "Τεσσαρεσκαιδεκατην σημερον ἡμεραν[3] προσδοκωντες—ασιτοι διατελειτε, μηδεν προσλαβομενοι. 34 Διο παρακαλω ὑμας μεταλαβειν[4] τροφης, τουτο γαρ προς της ἡμετερας[5] σωτηριας ὑπαρχει· ουδενος γαρ ὑμων θριξ εκ της κεφαλης πεσειται." 35 Ειπων δε ταυτα και λαβων αρτον, ευχαριστησεν[6] τω Θεω ενωπιον παντων· και κλασας ηρξατο εσθιειν. 36 Ευθυμοι δε γενομενοι παντες και αυτοι προσελαβοντο τροφης. 37 (Ημεν δε εν τω πλοιω αἱ πασαι ψυχαι, διακοσιαι ἑβδομηκοντα ἑξ.) 38 Κορεσθεντες δε[7] τροφης, εκουφιζον το πλοιον εκβαλλομενοι[8] τον σιτον εις την θαλασσαν.

39 Ὁτε δε ἡμερα εγενετο,[9] την γην ουκ[10] επεγινωσκον, κολπον δε τινα κατενοουν[11] εχοντα αιγιαλον, εις ὃν εβουλευσαντο, ει δυνατον, εξωσαι το πλοιον. 40 Και τας αγκυρας περιελοντες[12] ειων εις την θαλασσαν, ἁμα ανεντες[13] τας ζευκτηριας των πηδαλιων· και επαραντες τον αρτεμονα[14] τη πνεουση κατειχον[15] εις τον αιγιαλον. 41 Περιπεσοντες[16] δε[17] εις τοπον διθαλασσον επωκειλαν την ναυν·[18] και ἡ μεν πρωρα ερεισασα εμενεν[19] ασαλευτος, ἡ δε πρυμνα ελυετο ὑπο της βιας των κυματων.

42 Των δε στρατιωτων βουλη εγενετο ἱνα τους δεσμωτας[20] αποκτεινωσιν, μη τις εκκολυμβησας διαφυγη. 43 Ὁ δε ἑκατονταρχος, βουλομενος διασωσαι τον Παυλον, εκωλυσεν αυτους του βουληματος εκελευσεν τε τους δυναμενους[21] κολυμβαν απορριψαντας[22] πρωτους επι την γην εξιεναι, 44 και τους λοιπους, οὓς μεν[23] επι σανισιν, οὓς δε επι τινων των απο του πλοιου. Και ουτως εγενετο παντας διασωθηναι επι την γην.

[Malta]

28.1 Και[24] διασωθεντες, τοτε επεγνωσαν ὁτι Μελιτη ἡ νησος καλειται. 2 Οἱ δε βαρβαροι παρειχον ου την τυχουσαν φιλανθρωπιαν ἡμιν, αναψαντες γαρ πυραν, προσελαβοντο παντας ἡμας,[25] δια τον ὑετον τον εφεστωτα και δια το ψυχος.
3 Συστρεψαντος δε του Παυλου φρυγανων πληθος και επιθεντος επι την πυραν, εχιδνα εκ

---

[1] εμελλεν || ειμελλεν 1876 || ημελλεν [23%] 2261
[2] λεγων || --- 1247 (s)
[3] σημερον ημεραν || ~ 21 328,604,928,1249,1856,2441 (/)
[4] μεταλαβειν || προσλαβειν [70%] 1247
[5] ημετερας || υμετερας [50%] 444,1548,2261
[6] ευχαριστησεν || ηυχαριστησε [20%] 444,2261
[7] δε 35c || 1 της [70%] 35,444
[8] εκβαλλομενοι || εκβαλομενοι 2218 (i)
[9] ημερα εγενετο || ~ 21 1732 (s)
[10] ουκ || --- 328,394 (/)
[11] κατενοουν || υπενοουν [10%] 149,201
[12] περιελοντες || περιελωντες 1732 (i)
[13] ανεντες || ανεντας 2466 (s)
[14] αρτεμονα || αρτεμωνα [40%] 141
[15] κατειχον || κατηχον 18 || κατηγον 1247,1249 || κατειλθον 1876
[16] περιπεσοντες || πεσοντες 444 (s)
[17] δε || --- 1247 (s)
[18] ναυν || ναυ [23%] 1856,2303
[19] εμενεν || εμεινεν [75%] 444,1858,2303
[20] δεσμωτας || δεσμιους 201 (s)
[21] δυναμενους || βουλαμενους 1856 (s)
[22] απορριψαντας || απορριψας 801 (s)
[23] μεν || --- 2378 (s)
[24] και || --- 2218 (s)
[25] ημας || υμας 2466 (s)

της θερμης εξελθουσα[1] καθηψατο[2] της χειρος αυτου. 4 Ὡς δε ειδον οἱ βαρβαροι κρεμαμενον το θηριον εκ της χειρος[3] αυτου, ελεγον προς αλληλους, "Παντως φονευς εστιν ὁ ανθρωπος οὑτος,[4] ὃν διασωθεντα εκ της θαλασσης ἡ Δικη[5] ζην ουκ ειασεν". 5 Ὁ μεν ουν, αποτιναξαμενος[6] το θηριον εις το πυρ, επαθεν ουδεν κακον.[7] 6 Οἱ δε προσεδοκων αυτον μελλειν[8] πιμπρασθαι, ἠ καταπιπτειν αφνω νεκρον· επι πολυ δε αυτων προσδοκωντων[9] και θεωρουντων μηδεν[10] ατοπον εις αυτον γινομενον, μεταβαλλομενοι[11] ελεγον θεον αυτον ειναι.

7 Εν δε τοις περι τον τοπον εκεινον ὑπηρχεν χωρια τω πρωτω της νησου, ονοματι Ποπλιω, ὃς αναδεξαμενος ἡμας[12] τρεις ἡμερας φιλοφρονως εξενισεν. 8 Εγενετο δε τον πατερα του Ποπλιου πυρετοις και δυσεντερια συνεχομενον κατακεισθαι· προς ὃν ὁ Παυλος εισελθων και προσευξαμενος,[13] επιθεις τας χειρας αυτω, ιασατο αυτον. 9 Τουτου ουν γενομενου,[14] και οἱ λοιποι[15] οἱ εχοντες ασθενειας εν τη νησω προσηρχοντο και εθεραπευοντο· 10 οἳ και πολλαις τιμαις ετιμησαν ἡμας, και αναγομενοις επεθεντο τα προς την χρειαν.

[Rome]

11 Μετα δε τρεις μηνας ανηχθημεν[16] εν πλοιω παρακεχειμακοτι εν τη νησω, Αλεξανδρινω, παρασημω[17] Διοσκουροις. 12 Και καταχθεντες εις Συρακουσας[18] επεμειναμεν ἡμερας τρεις· 13 ὁθεν περιελθοντες κατηντησαμεν[19] εις Ῥηγιον. Και μετα μιαν ἡμεραν επιγενομενου[20] νοτου, δευτεραιοι[21] ηλθομεν εις Ποτιολους, 14 οὗ εὑροντες αδελφους, παρεκληθημεν επ' αυτοις[22] επιμειναι ἡμερας ἑπτα—και οὑτως εις την Ῥωμην ηλθομεν.[23] 15 Κακειθεν οἱ αδελφοι, ακουσαντες τα περι ἡμων, εξηλθον εις απαντησιν ἡμιν[24] αχρις Αππιου Φορου και Τριων Ταβερνων, οὓς ιδων ὁ Παυλος, ευχαριστησας τω Θεω, ελαβεν θαρσος.

16 Ὁτε δε ηλθομεν εις Ῥωμην, ὁ ἑκατονταρχος παρεδωκεν τους δεσμιους τω στρατοπεδαρχη· τω δε Παυλω επετραπη μενειν καθ' ἑαυτον, συν τω φυλασσοντι αυτον στρατιωτη.

[Paul and the Jews]

---

[1] εξελθουσα || διεξελθουσα [65%] 444,2080
[2] καθηψατο || ἡψατο 1637 (s)
[3] χειρος 2378[c] || --- 2378
[4] ουτος || τουτος 149 (s)
[5] δικη || δηκη 1617 (s)
[6] αποτιναξαμενος 2261[c] || αποτειναξαμενος 1140 (s) || αποτιναξας [45%] 444,2261
[7] επαθεν ουδεν κακον || ~ 231 2466 (s)
[8] μελλειν || μελειν 1858 (i)
[9] προσδοκωντων || προσδοκοντων 1876,2218 (/)
[10] μηδεν || μηδενα 2378 (i)
[11] μεταβαλλομενοι || μεταβαλομενοι [13%] 386,444,1548,2218,2587
[12] ημας || 1 επι 2080 (s)
[13] προσευξαμενος || 1 και [2%] 2080
[14] γενομενου || γινομενου 1249 (s)
[15] λοιποι || λοποι 2378 (i)
[16] ανηχθημεν 35[c] || ηχθημεν [30%] 35 || ανοιχθημεν 1617
[17] παρασημω || παρασιμω 986,2378 (sp)
[18] συρακουσας || συρρακουσας 1856,2080 (/)
[19] κατηντησαμεν || καταντησαμεν 2378 (i)
[20] επιγενομενου || επιγινομενου 2378 (i)
[21] δευτεραιοι || δευτερεοι 394 (s)
[22] αυτοις || αυτους 1876 (s)
[23] εις την ρωμην ηλθομεν || ~ 4123 328,394,928,1247,1249,1508,1723,1749,1856,2441 (/)
[24] ημιν 35[c] || ημων [30%] 35

17 Εγενετο δε μετα ἡμερας τρεις[1] συγκαλεσασθαι τον Παυλον τους οντας των Ιουδαιων πρωτους· συνελθοντων[2] δε αυτων, ελεγεν προς αυτους: "Ανδρες αδελφοι, εγω ουδεν εναντιον ποιησας τω λαω ἠ τοις εθεσιν τοις πατρωοις, δεσμιος εξ Ἰεροσολυμων παρεδοθην εις τας χειρας των Ῥωμαιων, 18 οἵτινες ανακριναντες με εβουλοντο απολυσαι δια το μηδεμιαν αιτιαν θανατου ὑπαρχειν εν[3] εμοι. 19 Αντιλεγοντων δε των Ιουδαιων, ηναγκασθην επικαλεσασθαι Καισαρα· ουχ ὡς του εθνους μου εχων τι κατηγορησαι. 20 Δια ταυτην ουν την αιτιαν παρεκαλεσα ὑμας ιδειν και προσλαλησαι· ἑνεκεν γαρ της ελπιδος του Ισραηλ την ἁλυσιν ταυτην περικειμαι." 21 Οἱ δε προς αυτον ειπον: "Ἡμεις ουτε γραμματα περι σου εδεξαμεθα[4] απο της Ιουδαιας, ουτε παραγενομενος τις[5] των αδελφων απηγγειλεν ἠ ελαλησεν τι πονηρον περι σου.[6] 22 Αξιουμεν[7] δε παρα σου ακουσαι[8] ἃ[9] φρονεις· περι μεν[10] γαρ της αἱρεσεως ταυτης, γνωστον εστιν ἡμιν ὁτι πανταχου αντιλεγεται."

23 Ταξαμενοι δε αυτω ἡμεραν, ἡκον προς αυτον εις την ξενιαν πλειονες, οἷς εξετιθετο[11] διαμαρτυρομενος την βασιλειαν του Θεου, πειθων τε αυτους τα περι του[12] Ιησου, απο τε του Νομου Μωυσεος[13] και των Προφητων, απο πρωι ἑως ἑσπερας. 24 Και οἱ μεν επειθοντο τοις λεγομενοις, οἱ δε ηπιστουν.

25 Ασυμφωνοι δε οντες προς αλληλους απελυοντο, ειποντος του Παυλου ῥημα ἑν, ὁτι "Καλως[14] το Πνευμα το Ἁγιον ελαλησεν δια Ἡσαιου του προφητου προς τους πατερας ἡμων,[15] 26 λεγον:[16] Ἰπορευθητι προς τον λαον τουτον και ειπον, "Ακοη ακουσετε, και ου μη συνητε· και βλεποντες βλεψετε, και ου μη ιδητε"· 27 επαχυνθη γαρ ἡ καρδια του λαου τουτου, και τοις ωσιν[17] βαρεως ηκουσαν, και τους οφθαλμους αυτων εκαμμυσαν· μηποτε ιδωσιν τοις οφθαλμοις και τοις ωσιν ακουσωσιν και τη καρδια συνωσιν και επιστρεψωσιν, και ιασωμαι[18] αυτους.' 28 Γνωστον ουν εστω[19] ὑμιν ὁτι τοις εθνεσιν απεσταλη το σωτηριον του Θεου· αυτοι και ακουσονται!" 29 Και ταυτα αυτου[20] ειποντος,[21] απηλθον οἱ Ιουδαιοι, πολλην εχοντες εν ἑαυτοις συζητησιν.

[Two tranquil years]

30 Εμεινεν δε ὁ Παυλος διετιαν ὁλην εν ιδιω μισθωματι, και απεδεχετο παντας

---

[1] ημερας τρεις || ~ 21 2261 (s)
[2] συνελθοντων || συνεληλυθοντων 2466 || προσελθοντων 1858
[3] εν || --- 2466 (s)
[4] περι σου εδεξαμεθα 2261[c] || ~ 312 2261
[5] τις || 1 απο 444 (s)
[6] πονηρον περι σου || ~ 231 [80%] 328,444,1746,2261
[7] αξιουμεν || αξιουμαι 1247 (s)
[8] παρα σου ακουσαι || ~ 312 [13%] 328,394,444,604,928,1247,1249,1508,1723,1740,1749,1856,2261,2441,2466
[9] α || ου 204 (s)
[10] μεν || --- 444 (s)
[11] εξετιθετο || εξεθετο 824 (s)
[12] του || --- 328,1761 (/)
[13] μωυσεος || μωσεως [35%] 444,2466 || μωυσεως [40%] 2255
[14] καλως || καλλως 1858 (i)
[15] ημων || υμων [22%] 444,1075,1248,1503,1652,1740,1746,2261,2352,2431
[16] λεγον || λεγων [45%] 1855,1876
[17] ωσιν || 1 αυτων 444 (s)
[18] ιασωμαι || ιασομαι [75%] 141,1058,1075,2218,2261,2303,2378,2554 [2261,2554 left space for the ω]
[19] εστω || 1 πασιν 444 (s)
[20] αυτου || --- 1892 (s)
[21] αυτου ειποντος || ~ 21 328 (s)

τους εισπορευομενους προς[1] αυτον, 31 κηρυσσων την βασιλειαν του Θεου και διδασκων τα περι του[2] Κυριου Ιησου Χριστου,[3] μετα πασης παρρησιας, ακωλυτως.

[1] προς || εις 2431 (s)
[2] του || --- 801 (s)
[3] χριστου || --- [12%] 444